# Σ'. ΓΡΗΓΟΡΙΟΥ ΘΕΟΛΟΓΟΥ

## ΤΟΥ ΝΑΖΙΑΝΖΗΝΟΥ.

Γρηγόριος, ὁ ἐπικληθεὶς Θεολόγος διὰ τὴν ἐκκλησιαστικὴν εὐγλωττίαν του, ἐγεννήθη μὲν εἰς κώμην τινὰ πλησίον τῆς ἐν Καππαδοκίᾳ πόλεως Ναζιανζοῦ (τῆς ὁποίας ὁ πατὴρ αὐτοῦ ἦτον ἐπίσκοπος), ἤκμασε δὲ ἐπὶ Ἰουλιανοῦ τοῦ Παραβάτου καὶ Οὐάλεντος τοῦ Ἀρειανοῦ, περὶ τὸ μέσον τοῦ δ'. αἰῶνος μ. Χ. Ἀπέθανεν εἰς τὰ 391, ἀρχιεράτευσεν (εἰς τὴν Κωνσταντινούπολιν, διότι πρὶν ἦτον ἐπίσκοπος Σασίμων) εἰς τὰ 378, ἔζησε δὲ, καθὼς λέγουν, ὑπὲρ τὰ 80 ἔτη.

## ΠΕΡΙ ΙΕΡΩΣΥΝΗΣ.

Ὁ λόγος οὗτος θαυμαζόμενος ὄχι μόνον διὰ τὸ ὕψος τῶν ἐννοιῶν, ἀλλὰ καὶ διὰ τὴν τέχνην καὶ καλλιέπειάν του ἐπιγράφεται «Ἀπολογητικὸς τῆς εἰς τὸν Πόντον φυγῆς ἕνεκεν, « καὶ αὖθις ἐπανόδου ἐκεῖθεν μετὰ τὴν τοῦ πρεσβυτέρου χειροτονίαν· ἐν ᾧ καὶ, τί τὸ τῆς « Ἱερωσύνης ἐπάγγελμα, καὶ ὁποῖον εἶνε δεῖ τὸν ἐπίσκοπον.» Πρὸς κατανόησιν τούτων, ἀνάγκη νὰ γνωρίζωμεν ὅτι, χειροτονηθεὶς ὁ θεῖος Γρηγόριος ἱερεὺς, βίᾳ καὶ μόλις ὑπακούσας εἰς τοῦ πατρός του, Γρηγορίου ὡσαύτως ὀνομαζομένου καὶ ἀρχιερατεύοντος τῆς πατρίδος ἀμφοτέρων Ναζιανζοῦ τὰς παρακλήσεις, καὶ μέλλων νὰ προαχθῇ μετὰ τοῦτο καὶ εἰς ἐπίσκοπον, ἀναχωρεῖ μετὰ τὴν χειροτονίαν εὐθὺς εἰς τὸν Πόντον. Καὶ ἐκεῖ ἐμόναζε μετὰ τοῦ φίλου καὶ συμμαθητοῦ του Βασιλείου τοῦ Μεγάλου. Ἀλλ', ἀποθανόντος τοῦ ἀδελφοῦ του Καισαρίου, ἐβιάσθη νὰ ἐπανέλθῃ ἵνα γηροκομήσῃ τὸν ὑπέργηρον ἤδη πατέρα των, καὶ πρὸς ἀπολογίαν του γράφει τὸν λόγον τοῦτον. Μετ' οὐ πολὺ δὲ διαδεξάμενος ὁ θεῖος Βασίλειος τὸν Εὐσέβιον εἰς τὴν τῆς Καισαρείας ἐπισκοπὴν, προεχειρίσατο καὶ τὸν θεῖον Γρηγόριον εἰς τὴν ἐπισκοπὴν τῶν Σασίμων· ἀλλ' αὐτὸς ἀνεχώρησε πάλιν, καὶ μόλις κατ' αἴτησιν ἐπίμονον τοῦ πατρός του, ἠναγκάσθη νὰ δεχθῇ τὴν ἐπιστασίαν μόνον, ἐν ὅσῳ ἔζη ὁ πατήρ του, τῆς ἐπαρχίας Ναζιανζοῦ, ὥστε κυρίως ἦτον Ἐπίσκοπος Σασίμων καὶ ὄχι Ναζιανζοῦ, καθὼς πολλαχοῦ, κατὰ σύγχυσιν ἰδεῶν, ἀναφέρεται.

ΗΤΤΗΜΑΙ[1] καὶ τὴν ἧτταν ὁμολογῶ· ὑπετάγην τῷ Κυρίῳ, καὶ ἱκέτευσα αὐτόν[2]. Ὁ γάρ μοι μακαριώτατος Δαβὶδ ἀρχέτω τοῦ λόγου· μᾶλλον δὲ ὁ ἐν τῷ Δαβὶδ φθεγξάμενος[3], καὶ εἰσέτι καὶ νῦν δι' αὐτοῦ φθεγγόμενος. Ἐπειδὴ καὶ τάξις ἀρίστη, παντὸς ἀρχομένῳ[4] καὶ λόγου καὶ πράγματος, ἐκ Θεοῦ τε ἄρχεσθαι[5], καὶ εἰς Θεὸν ἀναπαύεσθαι. Τὸ δὲ αἴτιον, ἢ τῆς πρὸ τοῦ στάσεως καὶ ὀλιγοψυχίας, δι' ἣν[6] ἐμάκρυνα φυγαδεύων καὶ ηὐλίσθην ἀφ'[7] ὑμῶν χρόνον οὐ μικρὸν ἴσως τοῖς γε ποθοῦσιν, ἢ τῆς νῦν ἡμερότητος καὶ μεταβολῆς, δι' ἣν αὖθις ἐμαυτὸν ἔδωκα φέρων ὑμῖν, ἄλλος μὲν ἄλλο τι οἰέσθω τε καὶ λεγέτω τῶν ἢ μισούντων ἢ ἀγαπώντων ἡμᾶς, ὁ μὲν[8] οὐκ

---

1) Ὑπὸ τῶν παρακλήσεων τοῦ πατρός μου· ἴδε τὰ προσημειωθέντα. 2) Ψαλμ. λς'. 7. 3) Θεός. 4) Ἡ δοτικὴ εἰς τὸ Ἐστίν. 5) Ἐκ τοῦ Δημοσθένους (ἐπιστολ. Α'.): «Παντὶ ἀρχομένῳ σπουδαίου λόγου καὶ ἔργου ἀπὸ τῶν θεῶν ὑπολαμβάνω προσήκειν πρῶτον ἄρχεσθαι». 6) Ψαλμ. νδ', 7. 7) Μακρὰν ὑμῶν. 8) Ὁ μὲν μισῶν.

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΕΡΓΑΣΤΗΡΙΟ ΕΡΕΥΝΩΝ ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΠ. ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
Ε. ... Κ.Π. ΙΩΑΝΝΙΝΑ 2006

αφιεὶς αἰτίας, ὁ δὲ καὶ προσαποδεχόμενος. Οὐδὲν γὰρ οὕτως ἡδὺ τοῖς ἀν-
θρώποις, ὡς τὸ λαλεῖν τὰ ἀλλότρια· καὶ μάλιστα ἐὰν τύχωσιν ὑπ' εὐνοίας
τινὸς ἢ μίσους ἑλκόμενοι, ὑφ' ὧν καὶ φιλεῖ κλέπτεσθαι ὡς τὰ πολλὰ ἡ
ἀλήθεια. Ἐγὼ [δὲ][36] τ' ἀληθὲς εἰς μέσον θήσω μηδὲν αἰσχυνθεὶς, καὶ διαι-
τήσω δικαίως ἀμφοτέροις τοῖς μέρεσιν, ὅσοι κατηγοροῦσιν ἡμῶν, καὶ ὅσοι
ἀπεραπολογοῦνται προθύμως· τὸ μὲν τι κατηγορήσας ἐμαυτοῦ, τὸ δὲ ὑπερα-
πολογησάμενος.

Καὶ ἵνα γε καθ' ὁδὸν ὁ λόγος προΐῃ, περὶ τῆς δειλίας[37] προτέρας οὕτως
καὶ[38] διαλέξομαι. Οὐδὲ γὰρ ἀνέχομαι πλήττεσθαί[39] τινας ἐν ἐμοὶ τῶν
πάντα τηρούντων ἐπιμελῶς τὰ ἡμέτερα, εὖ τε καὶ ὡς ἑτέρως[40] ἔχοντα,
ἐπειδή τι[41] τὸ καθ' ἡμᾶς εἶναι, Χριστιανοῖς εὐδόκησεν ὁ Θεός· καὶ τοὺς ἤδη
πεπληγότας[42], εἴ πέρ τινές εἰσι, διὰ τῆς ἀπολογίας ἰάσομαι. Καλὸν γὰρ
μήτε ἁμαρτάνοντα, μήτε ὑπονοούμενον, ἕως ἂν οἷός τε ᾖ καὶ ὁ λόγος αἱ-
ρῇ[43], τιθέναι πρόσκομμα τοῖς πολλοῖς ἢ σκάνδαλον[44]. εἴ περ καὶ τοῖς ἕνα
τῶν μικρῶν σκανδαλίσασιν, ἴσμεν ὅπως ἀπαραίτητος, καὶ βαρυτάτη παρὰ
τοῦ ἀψευδοῦς[47] ἡ τιμωρία.

Ἐγὼ γὰρ ἔπαθον τοῦτο, ὦ ἄνδρες, οὔτε ὡς ἀπαίδευτος καὶ ἀσύνετος[48]
ἀλλὰ μᾶλλον[49], ἵνα καὶ μικρόν τι καυχήσωμαι· οὔτε ὡς ὑπερόπτης τῶν
θείων νόμων καὶ διατάξεων. Ὅτι καθάπερ ἐν σώματι, τὸ μέν τι[49] ἄρχον
ἐστὶ, καὶ οἷον προκαθεζόμενον, τὸ δὲ[50] ἀρχόμενον καὶ ἀγόμενον· οὕτω κἀν
ταῖς Ἐκκλησίαις διέταξεν ὁ Θεὸς ἰσότητος νόμῳ τῆς ἐχούσης τὰ κατ' ἀ-
ξίαν, ἢ καὶ προνοίας, ᾗ τὰ πάντα συνέδησε, τοὺς μὲν ποιμαίνεσθαί τε καὶ
ἄρχεσθαι, ὅσοις τοῦτο λυσιτελέστερον, καὶ λόγῳ καὶ ἔργῳ πρὸς τὸ δέον
ἰθυνομένους· τοὺς δὲ εἶναι ποιμένας καὶ διδασκάλους πρὸς τὸν καταρτισμὸν
τῆς Ἐκκλησίας, ὅσοι τῶν πολλῶν εἰσιν ἀνωτέρω κατ' ἀρετὴν καὶ τὴν πρὸς
τὸν Θεὸν οἰκείωσιν, λόγον ψυχῆς πρὸς σῶμα, ἢ νοῦ πρὸς ψυχὴν ἐπέχον-
τας. Ἵν' ἀμφότερα συντεθέντα ἀλλήλοις καὶ συγκραθέντα, τό τε ὑστεροῦν
καὶ τὸ πλεονάζον, ὥσπερ ἐν μέλεσι, καὶ τῇ ἁρμονίᾳ τοῦ Πνεύματος συμ-
βιβασθέντα καὶ συνδεθέντα, ἓν ἄρτιον ἀποδειχθῇ σῶμα, καὶ αὐτοῦ Χρι-
στοῦ τῆς κεφαλῆς ἡμῶν[51] ὄντως ἄξιον. Οὔτε οὖν τοῖς ἄλλοις[52] ἀναρχίαν
καὶ ἀταξίαν λυσιτελεστέραν οἶδα τάξεως καὶ ἀρχῆς, οὔτε ἀνθρώποις, ἀλλὰ
τούτοις καὶ πάντων οὐχ ἥκιστα[53], ὅσῳ καὶ περὶ μειζόνων αὐτοῖς ὁ κίνδυ-
νος. Οἷς μέγα, κἂν εἰ τὸ πρῶτον τοῦ λόγου[54] μὴ σώζοιεν, τὸ μηδὲν ἁμαρ-
τάνειν, ἀλλὰ τό γε δεύτερον ἐκείνου, τὸ ἁμαρτάνοντας ἐπανάγεσθαι.

Ἐπειδὴ τοῦτο καλὸν ἐφάνη καὶ δίκαιον, ἴσον ἐμοὶ κακὸν καὶ ὁμοίως

---

[36]) Προσετέθη ὡς ἀνταποδοτικὸς τοῦ Μέν. [37]) Τὸ ὁποῖον ἀνωτέρω εἶπεν Ὀλιγοψυχίας
[38]) Ἑτοιμότητος ἐμφαντικός. [39]) Σκανδαλίζεσθαι. [40]) Τὸ ἐναντίον, δηλ. κακῶς.
[41]) Ἴσως γραπτέον Τοι· ἡ δὲ ἔννοια. Ἐπειδὴ κ ἡμᾶς (ἐμὲ δηλ.) Χριστιανοὺς εἶναι ηὐ-
δόκησεν ὁ Θεός· ἡ δὲ δοτικὴ διὰ τὸ Εὐδόκησε. [42]) Οὔτε πλήττεσθαί τινας ἀνέχομαι, καὶ
τοὺς πεπληγότας ἰάσομαι. [43]) Κατὰ διόρθωσιν ἀντί: Αἱρῇ. [47]) Εὐαγγ. Λουκ. ΙΖ'. «Οὐαὶ δι' οὗ τὰ σκάνδαλα
ἔρχεται κτλ. [48]) Ἐπιστολ. πρὸς Ῥωμαίους ιδ', 13. Παρέλιπε δὲ ταῦτα ἀποφεύγων
ὡς φορτικὴν τὴν περιαυτολογίαν· Τὸ δὲ σχῆμα παρασιώπησις. [49]) (ἐνν.) Ὡς πεπαιδευμένος καὶ συνετός. [50]) Ἡ κεφαλὴ ἢ ὁ νοῦς.
[51]) Τὸ ἐπίλοιπον σῶμα. [52]) Παῦλ. Κορινθ. Α'. ιβ'. 12 κ 27. [53]) Ζώοις. [54]) Ἀντὶ
μάλιστα. [55]) Τὸ πρῶτον προτέρημα τοῦ ὀρθοῦ λόγου.

ΕΡΓΑΣΤΗΡΙΟ … ΙΩΑΝΝΙΝΑ 2006

ποιμένι ἢ τῷ βουκόλῳ, πλὴν ὅσον βραχέα προσπολεμῆσαι τοῖς λύκοις, καί που τι καὶ ἀῤῥωστοῦν ἐπισκέψασθαι· τὰ πολλὰ δὲ αὐτῷ μελήσει δρῦς καὶ σκιά, καὶ δόνακες[44], καὶ ἐν καλῷ τῆς πόας κατακλιθῆναι, καὶ παρὰ ψυχρὸν ὕδωρ, καὶ ὑπὸ ταῖς αὔραις σχεδιάσαι στιβάδα, καί πού τι καὶ ἐρωτικὸν ᾆσαι μετὰ τοῦ κισσυβίου, καὶ προσλαλῆσαι ταῖς βουσὶν ἢ τῇ ποίμνῃ, καὶ τούτων αὐτῶν θοινήσασθαι τὸ πιότατον. Ἀρετῆς δὲ οὐδείς πω ποιμνίων ἢ βουκολίων ἐφρόντισε. Τίς γὰρ ἀρετὴ τούτων; ἢ τίς ὃς τὸ ἐκείνοις καλὸν πρὸ τῆς ἰδίας ἡδονῆς ἐσκέψατο; Ἀνθρώπῳ δέ, χαλεποῦ ὄντος τοῦ εἰδέναι ἄρχεσθαι, κινδυνεύει πολλῷ χαλεπώτερον εἶναι τὸ εἰδέναι ἄρχειν ἀνθρώπων[45]· καὶ μάλιστα δὴ ἀρχὴν ταύτην τὴν ἡμετέραν, τὴν ἐν νόμῳ θείῳ, καὶ πρὸς Θεὸν ἄγουσαν· ἧς ὅσον τὸ ὕψος καὶ τὸ ἀξίωμα, τοσοῦτος καὶ ὁ κίνδυνος τῷ γε νοῦν ἔχοντι. Ὃν γε πρῶτον μὲν δεήσει, καθάπερ ἀργύριον ἢ χρυσίον πανταχόθεν στρεφόμενον καὶ ἐν παντοίοις καιροῖς καὶ πράγμασι, μηδαμοῦ κίβδηλον ἠχεῖν ἢ ὑπόχαλκον, μηδέ τι φέρειν ἐν ἑαυτῷ ὕλης τῆς χείρονος καὶ θερμοτέρου πυρὸς[46] ἀξίας. Ἢ τοσούτῳ μείζων ἔσται τὸ κακόν, ὅσῳ περ ἂν ἀρχὴ πλειόνων· εἴπερ καὶ μείζων τῆς περὶ ἕνα ἱσταμένης[47] πονηρίας ἡ εἰς πολλοὺς ὁδεύουσα. Οὐ γὰρ οὕτως οὔτε δευσοποιοῦ βαφῆς μεταλαμβάνει ῥᾳδίως ὕφασμα, οὔτε δυσωδίας ἢ τοὐναντίου τὸ[48] πλησιάσαι, οὔτε νοσερά τις οὕτως εὐκόλως ἀναχεῖται εἰς τὸν ἀέρα καὶ διὰ τοῦ ἀέρος ὁμιλεῖ τοῖς ζῶσιν ἀτμίς, (ὃ δὴ λοιμός ἐστί τε καὶ ὀνομάζεται) ὡς φιλεῖ τάχιστα τῆς τοῦ προεστῶτος κακίας ἀναπίμπλασθαι τὸ ὑπήκοον· καὶ πολλῷ γε ῥᾷον, ἢ τοῦ ἐναντίου τῆς ἀρετῆς. Τοῦτο γάρ ἐστιν ὃ μάλιστα πλεονεκτεῖν τὴν καλοκαγαθίαν ἡ πονηρία, καὶ ὃ μάλιστα ἐγὼ δυσχεραίνω κατανοῶν, ὅτι εὐζήλωτον μέν τι καὶ πρόχειρον πρᾶγμα ἡ μοχθηρία, καὶ οὐδὲν οὕτω ῥᾴδιον, ὡς τὸ γενέσθαι κακόν, καὶ εἰ μὴ τύχοι πρὸς ταύτην ἡμᾶς ἄγων μηδείς· σπάνιον δὲ ἡ τοῦ ἀγαθοῦ κτῆσις καὶ πρόσαντες, κἂν εἰ πολὺ τὸ μεθέλκον εἴη καὶ προκαλούμενον. Καὶ τοῦτό ἐστιν, ὅ μοι δοκεῖ καὶ ὁ μακαριώτατος Ἀγγαῖος κατανοήσας, ἐπὶ τὴν θαυμασίαν ἐκείνην ἐλθεῖν καὶ ἀληθεστάτην εἰκόνα. » Ἐρωτήσατε[49] ἱερεῖς νόμον, λέγων, εἰ κρέας ἅγιον ἐν ἱματίῳ, βρωτοῦ τινος ἢ ποτοῦ ἢ σκεύους ἁψάμενον, εὐθὺς ἁγιάσει τὸ πλησιάσαν; Τῶν δὲ ἀποφησάντων· Ἐρωτήσατε πάλιν, εἰ καὶ ἀκαθαρσίᾳ τούτων τι προσομιλήσαν, μὴ παραχρῆμα μετέλαβε τοῦ μιάσματος; Ὡς ἐρούντων γε μεταλαμβάνειν, καὶ μὴ καθαρὸν μένειν τῇ κοινωνίᾳ. Τί τοῦτο λέγων[50]. Ὅπερ ὁ ἐμὸς λόγος, ὅτι δυσληπτον μὲν τὸ ἀγαθὸν τῇ ἀνθρωπίνῃ φύσει, ὥσπερ καὶ πῦρ ὕλῃ τῇ ὑγροτέρᾳ· ἑτοι-

---

44) Δρυὸς σκιά, καὶ κάλαμος πρὸς κατασκευὴν σύριγγος. 45) Παράβαλε ταῦτα τοῖς τοῦ Ξενοφῶντος, ἐν ἀρχῇ τῆς Κ. Π. 46) Καθὼς καὶ τὰ μέταλλα διὰ τοιούτου πυρὸς καθαρίζονται. 47) Συνισταμένης. 48) Ἴσως γραπτέον Τῷ.

49) Πρὸς κατανόησιν τοῦ κειμένου, ἰδοὺ ὁλόκληρος ἡ περικοπὴ τοῦ προφητικοῦ χωρίου « Τάδε λέγει Κύριος· ἐπερώτησον δὴ τοὺς ἱερεῖς νόμον, λέγων· ἐὰν λάβῃ ἄνθρωπος κρέας « ἅγιον ἐν τῷ ἄκρῳ τοῦ ἱματίου αὐτοῦ, καὶ ἅψηται τὸ ἄκρον τοῦ ἱματίου αὐτοῦ ἄρτου, ἢ « ἑψήματος, ἢ οἴνου, ἢ ἐλαίου, ἢ παντὸς βρώματος, εἰ ἁγιασθήσεται; Καὶ ἀπεκρίθησαν « οἱ ἱερεῖς, καὶ εἶπον· Οὔ. Καὶ εἶπεν Ἀγγαῖος· ἐὰν ἅψηται μεμιασμένος ἢ ἀκάθαρτος (ἐπὶ) « ψυχῇ (ἐπὶ) παντὸς τούτων, εἰ μιανθήσεται; Καὶ ἀπεκρίθησαν οἱ ἱερεῖς, καὶ εἶπαν· μιαν- « θήσεται ». Ἀγγ. Β'. 12, 13. Τοῦτο ὁ θεῖος πατὴρ μετεποίησεν ἐπὶ τὸ συντομώτερον.

50) Πρὸς τί τοῦτο λέγων;

Ε. ΥΠΑΤΙΑ Κ.Τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

ροι δὲ πρὸς τὴν τοῦ κακοῦ μετουσίαν οἱ πλεῖστοι καὶ ἐπιτήδειοι. Καλάμη τις[51] πρὸς σπινθῆρα, οἶμαι, καὶ ἄνεμον ῥᾳδίως ἐξαπτομένη, καὶ δαπανωμένη διὰ ξηρότητα. Θᾶττον γὰρ ἄν τις ὀλίγης κακίας μεταλάβῃ πλουσίως, ἢ ἀρετῆς βαθείας[52] κατὰ μικρόν. Ἐπεὶ καὶ μέλιτι μὲν, μικρὸν ἀψίνθιον τάχιστα μεταδίδωσι τοῦ πικροῦ· μέλι δὲ οὐδὲ τὸ διπλάσιον ἀψινθίῳ τῆς ἑαυτοῦ γλυκύτητος. Καὶ μικρὰ μὲν ὑποσπασθεῖσα[53] ψηφὶς, ποταμὸν ὅλον ἑλκύσειεν ἂν ἐπὶ τὸ πρανὲς, ἐπισχεῖν δὲ ἢ ἀνακόψαι μόλις ἂν δυνηθείη καὶ τὸ καρτερώτατον ἔρυμα.

Πρῶτον μὲν δὴ τοῦτο, ὧν εἴπομεν, εὐλαβεῖσθαι ἄξιον, μὴ φαινώμεθα τῆς θαυμασίας ἀρετῆς κακοὶ ζωγράφοι, μᾶλλον δὲ[54] ζωγράφων οὐ φαύλων ἴσως, τῶν δὲ πολλῶν, φαῦλον ἀρχέτυπον ἢ τῆς παροιμίας μὴ πόῤῥω θῶμεν, ἄλλους ἰατρεύειν ἐπιχειροῦντες, αὐτοὶ βρύοντες ἕλκεσι. Δεύτερον δὲ, εἰ καί τις ἁγνὸν ἑαυτὸν ἀπὸ πάσης ἁμαρτίας τηρήσειεν, ἢ[55] ὡς μάλιστα, οὐκ οἴδαμεν εἰ καὶ τοῦτο αὔταρκες τῷ μέλλοντι τοὺς ἄλλους παιδεύειν πρὸς ἀρετήν. Οὐ γὰρ μὴ κακὸν εἶναι δεῖ μόνον τὸν τοῦτο[56] πεπιστευμένον (τοῦτο μὲν γὰρ καὶ τῶν ὑπὸ χεῖρα τοῖς πολλοῖς αἴσχιστον)· ἀλλὰ καὶ τῷ ἀγαθῷ διαφέροντα κατὰ τὴν, Ἐκκλίνειν[57] ἀπὸ κακοῦ, καὶ ποιεῖν ἀγαθὸν, κελεύουσαν ἐντολήν. Οὐδὲ τοὺς φαύλους ἐξαλεῖψαι τῆς ψυχῆς τύπους μόνον, ἀλλὰ καὶ τοὺς ἀμείνους ἐγγράψασθαι, ὡς πλέον κατ' ἀρετὴν προέχειν, ἢ ὁπόσον περίεστιν ἀξιώματι. Καὶ μηδὲν μέτρον εἰδέναι τοῦ καλοῦ καὶ τῆς ἀναβάσεως, μηδὲ κέρδος μᾶλλον τὸ κρατηθὲν, ἢ ζημίαν τὸ διαφεῦγον. Ἀλλ' ἐπίβασιν ἀεὶ ποιεῖσθαι τὸ ἐν ποσὶ τῶν ἑξῆς, καὶ μὴ μέγα νομίζειν, ἂν τῶν πολλῶν διαφέρωμεν, ἀλλὰ ζημίαν ἂν τῆς ἀξίας ἀπολειπώμεθα. Καὶ τῇ ἐντολῇ παραμετρεῖν, μὴ τοῖς πέλας τὸ κατορθούμενον, ἄντε ὦσι κακοὶ, ἄντε ἀρετῆς ἐπὶ πόσον ἥκοντες· καὶ μὴ μικροῖς σταθμοῖς ταλαντεύειν τὴν ἀρετὴν, τῷ μεγίστῳ καὶ παρ' οὗ τὰ πάντα καὶ εἰς ὃν τὰ πάντα χρεωστουμένην. Μηδὲ τὰ αὐτὰ πᾶσιν ἁρμόζειν οἴεσθαι, (ὥσπερ οὐδὲ ἡλικίαι πᾶσιν αἱ αὐταὶ, οὐδὲ προσώπων χαρακτῆρες, οὐδὲ ζώων φύσεις, οὐδὲ γῆς ποιότητες, οὐδὲ κάλλη τε καὶ μεγέθη λαμπτήρων[58])· ἀλλ' ἡγεῖσθαι ἰδιώτου μὲν εἶναι κακίαν, τὸ φαῦλα πράσσειν καὶ ὅσα κολάσεως ἄξια, ὧν καὶ ὁ νόμος βαρὺς δεσπότης· ἄρχοντος δὲ ἢ προεστῶτος[59], τὸ μὴ ὡς ἄριστον εἶναι καὶ ἀεὶ τῷ καλῷ προβαίνοντα, εἴπερ μέλλοι τῷ περιόντι[60] τῆς ἀρετῆς ἕλξειν τοὺς πολλοὺς εἰς τὸ μέτριον, καὶ μὴ βίᾳ καθείρξειν, ἀλλὰ πειθοῖ προσάξεσθαι. Τὸ μὲν γὰρ ἀκούσιον, πρὸς τῷ τυραννικὸν εἶναι καὶ οὐκ ἐπαινετὸν, οὐδὲ μόνιμον· φιλεῖ γὰρ τὸ βιασθὲν, ὥσπερ φυτὸν βίᾳ χερσὶ μετασπώμενον, εἰς ἑαυτὸ πάλιν ἀφεθὲν ἀνατρέχειν· τὸ δὲ ἐκ προαιρέσεως, ἐννομώτατόν τε ἅμα καὶ ἀσφαλέστατον, εὐνοίας δεσμῷ τηρούμενον. Ὅθεν δὲ

---

51) (Ἐνν.) εἰσίν. 52) Πολλῆς. 53) (Ἐνν.) ἀπό τινος ἐρύματος. 54) Μὴ φαινώμεθα φαῦλον ἀρχέτυπον (ὑπόδειγμα) τῶν δὲ τῶν πολλῶν μὲν, οὐ φαύλων δὲ ζωγράφων τῆς ἀρετῆς (τῶν ἐκ τοῦ κατωτέρου κλήρου δηλαδὴ, ἢ καὶ τῶν λαϊκῶν αὐτῶν. οἱ ὁποῖοι, καὶ τοιοῦτοι, ἦσαν ὅμως οὐ φαῦλοι ἴσως τῆς ἀρετῆς ζωγράφοι). 55) Διορθ. Ἢ, ἢ, ἐὰν δὲν ἦνε ἀκίνητον ἀπὸ πάσης, τοὐλάχιστον ἀπὸ τῶν πλειοτέρων καὶ βαρυτέρων. 56) Τὸ παιδεύειν τοὺς ἄλλους πρὸς ἀρετήν. 57) Ψαλμ. λς', 27. 58) Ἀστέρων, κατὰ τὸ ἀποστολικὸν « ἀστὴρ γὰρ ἀστέρος διαφέρει ἐν δόξῃ ». 59) (Ἐνν.) κακίαν εἶναι. 60) Τῇ περιουσίᾳ.

καὶ μάλιστα ποιμαίνειν τὸ ποίμνιον ἑκουσίως, ἀλλὰ μὴ ἀναγκαστῶς[61], ἡμέτερος διακελεύεται νόμος καὶ νομοθέτης.

Ἀλλ' ἔστω τις μήτε κακὸς, καὶ ἀρετῆς ἥκων εἰς τὸ ἀκρότατον· οὐχ ὁρῶ τίνα λαβὼν ἐπιστήμην, ἢ ποίᾳ δυνάμει πιστεύσας, ταύτην ἂν θαῤῥοίη[62] τὴν προστασίαν. Τῷ ὄντι γὰρ αὕτη μοι φαίνεται τέχνη τις εἶναι τεχνῶν καὶ ἐπιστήμη ἐπιστημῶν, ἄνθρωπον ἄγειν, τὸ πολυτροπώτατον τῶν ζώων καὶ ποικιλώτατον. Γνοίη δ' ἄν τις, τῇ τῶν σωμάτων θεραπείᾳ τὴν τῶν ψυχῶν ἰατρείαν ἀντεξετάσας, καὶ ὅσῳ μὲν ἐργώδης ἐκείνη καταμαθὼν, ὅσῳ δὲ ἡ καθ' ἡμᾶς ἐργωδεστέρα προσεξετάσας, καὶ τῇ φύσει τῆς ὕλης, καὶ τῇ δυνάμει τῆς ἐπιστήμης, καὶ τῷ τέλει τῆς ἐνεργείας τιμιωτέρα. Ἡ μὲν γὰρ περὶ σώματα πονεῖται καὶ τὴν ἐπίκηρον ὕλην καὶ κάτω ῥέουσαν, πάντως λυθησομένην καὶ πεισομένην τὸ ἑαυτῆς, κἂν νῦν τῇ συμμαχίᾳ τῆς τέχνης κατακρατήσῃ τῆς ἐν αὐτῇ στάσεως· ἢ γὰρ νόσος ἢ χρόνος ἔλυσεν εἴξασαν τῇ φύσει, καὶ τοὺς ἰδίους ὅρους οὐχ ὑπερβαίνουσαν. Τῇ δὲ, περὶ ψυχὴν ἡ σπουδὴ, τὴν ἐκ Θεοῦ θείαν, καὶ τῆς ἄνωθεν εὐγενείας μετέχουσαν, καὶ πρὸς ἐκείνην ἐπειγομένην, εἰ καὶ τῷ χείρονι συνεδέθη· τάχα μὲν καὶ δι' ἄλλας αἰτίας, ἃς μόνος οἶδεν ὁ συνδήσας Θεὸς, καὶ εἴ τις ἐκ Θεοῦ τὰ τοιαῦτα ἐσοφίσθη μυστήρια· ὅσον δ' οὖν ἐμὲ γινώσκειν καὶ τοὺς κατ' ἐμὲ, δυοῖν ἕνεκεν. Ἑνὸς μὲν, ἵνα δι' ἀγῶνος καὶ πάλης τῆς πρὸς τὰ κάτω, τῆς ἄνω δόξης κληρονομήσειεν· ὥσπερ χρυσὸς τῷ πυρὶ, τοῖς τῇδε βασανισθεῖσα, καὶ ἀρετῆς ἆθλον, ἀλλὰ μὴ Θεοῦ δῶρον μόνον ἔχῃ τὰ ἐλπιζόμενα. Καὶ τοῦτο δὲ ἦν ἄρα τῆς ἄκρας ἀγαθότητος, ποιῆσαι τὸ ἀγαθὸν καὶ ἡμέτερον, οὐ φύσει μόνον κατασπειρόμενον, ἀλλὰ καὶ προαιρέσει γεωργούμενον, καὶ τοῖς ἐπ' ἄμφω[63] τοῦ αὐτεξουσίου κινήμασιν. Ἑτέρου[64] δὲ πάλιν, ὡς ἂν καὶ τὸ χεῖρον[65] ἑλκύσειε πρὸς ἑαυτὴν καὶ ἄνω θείη, λύσασα κατὰ μικρὸν τῆς παχύτητος, ἵν' ὅπερ ἐστὶ Θεὸς ψυχῇ, τοῦτο ψυχὴ σώματι γένηται, παιδαγωγήσασα δι' ἑαυτῆς τὴν ὑπηρέτιν ὕλην, καὶ οἰκειώσασα Θεῷ τὸ ὁμόδουλον.

Χώρας, καὶ καιροὺς, καὶ ἡλικίας, καὶ ὥρας, καὶ τὰ τοιαῦτα ὁ ἰατρὸς ἐπισκέψεται, φαρμακεύσει τε καὶ διαιτήσει, καὶ τηρήσει τὰ βλαβερὰ, ὡς ἂν μὴ ἀντιβῆναι τῇ τέχνῃ τὰς τῆς ἀῤῥωστίας ἐπιθυμίας· καί που καὶ καύσεσι, καὶ τομαῖς, καὶ τοῖς αὐστηροτέροις τῆς θεραπείας, ἔστιν ὅτε, καὶ ἐφ' ὧν[66] χρήσεται. Ὧν[67] οὔπω τοσοῦτον οὐδὲν, κἂν ἐπίπονα σφόδρα καὶ χαλεπὰ φαίνηται, ὅσον ἤθη, καὶ πάθη, καὶ βίους, καὶ προαιρέσεις, καὶ εἴτι ἄλλο τοιοῦτον τῶν ἐν ἡμῖν κατοπτεῦσαί τε καὶ ἰατρεῦσαι, καὶ, πᾶν ὅσον θηριῶδες καὶ ἄγριον ἐξορίσαντας τῆς συζυγίας τῆς ἡμετέρας, πᾶν ὅσον ἥμερον καὶ Θεῷ φίλον ἀντεισαγαγεῖν τε καὶ βεβαιώσασθαι· καὶ βραβεῦσαι δικαίως ψυχῇ τε καὶ σώματι, μὴ τῷ χείρονι τὸ κρεῖττον δυναστεύεσθαι συγχωρήσαντας, ἥπερ ἀδικιῶν ἡ μεγίστη, τῷ δὲ ἄρχοντι καὶ ἡγεμονικῷ τε τῇ φύσει δεύτερον ὑποτάξαντας, ὅς περ δὴ νόμος θεῖος καὶ κάλλιστα ἔχων ἐπὶ πάσης αὐτοῦ τῆς κτίσεως, ὅση τε ὁρατὴ, καὶ ὅση ὑπὲρ τὴν αἴσ-

---

61) Πέτρος, ἐπιστολῇ Α΄, ε. 62) Θαῤῥείη ἀναδέξασθαι, ἢ θαῤῥείη πρός. 63) Ἐπὶ τὸ ἀγαθὸν καὶ τὸ κακόν. 64) Ἕνεκα. 65) Τὸ σῶμα. 66) Ἀνθρώπων. 67) Τούτων ἁπάντων τῶν εἰρημένων.

φησιν. Σκοπῶ δὲ κἀκεῖνο, ὅτι ἐκείνων μέν, ὧν ἀπηριθμησάμην ἕκαστον, ὡς τῷ θεραπευτῇ τηρούμενον[68], ὅπως ἔχῃ φύσεως, οὕτω μένει καὶ οὐδὲν ἀντιτεχνᾶται παρ' ἑαυτοῦ πανούργως, οὐδὲ ἀντισοφίζεται τοῖς παρὰ τῆς τέχνης προσαγομένοις, ἀλλὰ καὶ περιέστησι[69] μᾶλλον τὴν ὕλην ἡ ἰατρεία, πλὴν εἴπου βραχεῖά τις παρεμπέσοι τοῦ κάμνοντος ἀταξία, ἣν καὶ φυλάξαι καὶ ἀνακόψαι οὐ χαλεπόν. Ἡμῖν δὲ ἡ σύνεσις, καὶ τὸ φίλαυτον, καὶ τὸ νικᾶσθαι ῥᾳδίως μήτε εἰδέναι, μήτε ἀνέχεσθαι[70], μέγιστον πρὸς ἀρετὴν ἐστιν ἐμπόδιον καὶ οἷόν τις παράταξις κατὰ τῶν συμμαχούντων γίνεται καὶ ὅσην εἰσφέρειν ἔδει σπουδήν, γυμνοῦν[71] τὴν νόσον τοῖς θεραπεύουσιν, ὥστε τὴν ἰατρείαν φεύγειν εἰσφερόμεθα, καὶ ἐσμὲν ἀνδρεῖοι καθ' ἑαυτῶν, καὶ κατὰ τῆς ὑγείας ἡμῶν ἐπιστήμονες. Ἢ γὰρ δουλοπρεπῶς τὴν ἁμαρτίαν ἐκλέψαμεν[72], ὥσπερ τι πάθος ὕπουλον [καὶ] κακόηθες ἐν τῷ βάθει τῆς ψυχῆς συγκαλύπτοντες, ὡς καὶ τὸν μέγαν λήσοντες ὀφθαλμὸν τοῦ Θεοῦ καὶ τῆς δίκης, ἂν τοὺς ἀνθρώπους λάθωμεν· ἢ προφασιζόμεθα προφάσεις ἐν ἁμαρτίαις[73], λόγους συνηγόρους τοῖς πάθεσιν ἀνευρίσκοντες· ἢ τὰς ἀκοὰς ἀποφράξαντες, ἀσπίδος κωφῆς[74] καὶ τὰ ὦτα βυούσης τρόπον[75], μὴ ἀκοῦσαι φωνῆς ἐπᾳδόντων φιλονεικοῦμεν, μηδὲ φαρμακευθῆναι σοφίας φαρμάκοις, οἷς ἀῤῥωστία ψυχῆς θεραπεύεται· ἤ, τὸ τελευταῖον, οἵ γε τολμηρότεροι ἡμῶν καὶ γενναιότεροι, καὶ φανερῶς ἀναισχυντοῦμεν πρός τε τὴν ἁμαρτίαν καὶ τοὺς ταύτης θεραπευτάς, γυμνῇ τῇ κεφαλῇ, τὸ δὴ λεγόμενον, χωροῦντες πρὸς πᾶσαν παρανομίαν. Ὢ τῆς παραπληξίας! ἢ εἴτι ἄλλο τῷ τοιούτῳ πάθει κυριώτερον ὄνομα! Καὶ οὓς ἀγαπᾶν ὡς εὐεργέτας ἐχρῆν, τούτους ὡς ἐχθροὺς ἀμυνόμεθα, μισοῦντες[76] ἐν πύλαις ἐλέγχοντας, καὶ λόγον ὅσιον βδελυσσόμενοι· καὶ οἰόμεθα μᾶλλον πολεμήσειν τοὺς ἡμῖν εὔνους, ἂν ὅτι πλεῖστα ἡμᾶς αὐτοὺς κακῶς δράσωμεν· ὥσπερ οἱ τῶν ἰδίων σαρκῶν ἁπτόμενοι, τὰς τῶν πέλας δαπανᾶν νομίζοντες.

Ταῦτά ἐστιν, οἷς ἐγὼ τὴν καθ' ἡμᾶς ἰατρικὴν τῆς περὶ τὰ σώματα ἐργωδεστέραν τίθεμαι μακρῷ, καὶ διὰ τοῦτο τιμιωτέραν. Καὶ ὅτι ἐκείνη μὲν ὀλίγα τῶν ἐν τῷ βάθει κατοπτεύουσα, περὶ τὸ φαινόμενον ἡ πλείων τῆς πραγματείας· ἡμῖν δὲ περὶ τὸν κρυπτὸν τῆς καρδίας ἄνθρωπον ἡ πᾶσα θεραπεία τε καὶ σπουδή, καὶ πρὸς τὸν ἔνδοθεν ἡμῖν ἀντιπολεμοῦντα καὶ ἀντιπαλαίοντα ἡ μάχη, ὃς ἡμῖν αὐτοῖς ὅπλοις καθ' ἡμῶν χρώμενος, τὸ δεινότατον! τῷ τῆς ἁμαρτίας θανάτῳ δίδωσι. Πρὸς οὖν ταῦτα, πολλῆς μὲν καὶ παντελοῦς τῆς πίστεως, μείζονος δὲ τῆς παρὰ Θεοῦ συνεργείας, οὐκ ὀλίγης δὲ τῆς ἡμετέρας ἀντιτεχνήσεως, ὥς γε ἐμαυτὸν πείθω, χρεία, τῆς καὶ λόγῳ καὶ ἔργῳ θεωρουμένης, εἴτε καὶ προσαγομένης, εἰ δεῖ καλῶς ἡμῖν θεραπεύεσθαι καὶ ἀποκαθαίρεσθαι, καὶ ὡς πλείστου ἀξίας εἶναι, τὸ τιμιώτατον ὧν ἔχομεν, τὰς ψυχάς.

---

68) Ἀπηριθμησάμην ὡς τηρούμενον ὑπὸ τοῦ θ. 69) Συνέχει, [illegible]. 70) Καὶ τὸ μήτε εἰδέναι, μήτε ἀνέχεσθαι τὸ νικᾶσθαι ῥᾳδίως (ὑποχωρεῖν, ἐνδίδειν). 71) Ὥστε γυμνοῦν. 72) Ἀντὶ Ἐκλέπτομεν, κρύπτομεν. 73) Ψαλμ. ρμ΄, 4. 74) Ψαλμ. νζ΄, 4. 75) (Κωφοῦ) τρόπον, ὥσπερ. 76) Ἡ ῥῆσις ἔκ τινος τῶν προφητῶν. Τὸ δὲ ἐν πύλαις, ἀντὶ τοῦ δημοσίᾳ, διότι εἰς τὰς πύλας τῶν πόλεων εἶναι ἡ πλείστη τῶν ἀνθρώπων συῤῥοή.

Τά γε μὴν ἀμφοτέρων τῶν θεραπειῶν τέλη (τοῦτο γὰρ ἡμῖν εἰς τὴν ἐξέτασιν ἔτι λείπεται), τῇ μὲν[77] ὑγείαν ἢ εὐεξίαν σαρκὸς, ἢ οὖσαν φυλάξαι, ἢ ἀπελθοῦσαν ἀνακαλέσασθαι. ὧν οὔπω δῆλον, εἴ τι συνοίσει τοῖς κεκτημένοις· ἐπεὶ καὶ τὰ ἐναντία πολλάκις πλείω τοὺς ἔχοντας ὤνησεν, ὥσπερ πενίαι τε καὶ πλοῦτοι, δόξαι τε καὶ ἀδοξίαι, ταπεινότητες καὶ λαμπρότητες, καὶ ὅσα ἐν μέσῳ κείμενα κατὰ τὴν φύσιν, καὶ οὐδὲν μᾶλλον τῇδε ἢ τῇδε νεύοντα, τῇ χρήσει καὶ τῇ προαιρέσει τῶν κεκτημένων τὸ βέλτιον ἢ τὸ χεῖρον λαμβάνει· τῇ δὲ[78] τὸ προκείμενον, πτερῶσαι ψυχὴν καὶ ἁρπάσαι κόσμου, καὶ δοῦναι Θεῷ, καὶ τὸ κατ' εἰκόνα[79] ἢ μένον τηρῆσαι, ἢ κινδυνεῦον χειραγωγῆσαι, ἢ διαῤῥυὲν ἀνασώσασθαι, εἰσοικίσαι τε τὸν Χριστὸν ἐν ταῖς καρδίαις[80] διὰ τοῦ Πνεύματος· καὶ τὸ κεφάλαιον, Θεὸν ποιῆσαι καὶ τῆς ἄνω μακαριότητος[81] τὸν τῆς ἄνω συντάξεως[82]. Τοῦτο ἡμῖν ὁ παιδαγωγὸς βούλεται[83] νόμος· τοῦτο οἱ μέσοι Χριστοῦ καὶ τοῦ νόμου προφῆται· τοῦτο ὁ τοῦ πνευματικοῦ νόμου τελειωτὴς καὶ τὸ τέλος, ὁ Χριστός· τοῦτο ἡ κενωθεῖσα[84] θεότης, τοῦτο ἡ προσληφθεῖσα σάρξ· τοῦτο ἡ καινὴ μίξις Θεὸς καὶ ἄνθρωπος, ἓν ἐξ ἀμφοῖν, καὶ δι' ἑνὸς ἀμφότερα. Διὰ τοῦτο Θεὸς σαρκὶ διὰ μέσης ψυχῆς ἀνεκράθη, καὶ συνεδέθη τὰ διεστῶτα τῇ πρὸς ἄμφω τοῦ μεσιτεύοντος[85] οἰκειότητι· πάντα ὑπὲρ πάντων ἦλθεν εἰς ἓν[86] καὶ ὑπὲρ ἑνὸς τοῦ προπάτορος ἡ ψυχὴ[87] διὰ τὴν παρακούσασαν, ἡ σὰρξ[88] διὰ τὴν ὑπουργήσασαν καὶ συγκατακριθεῖσαν, ἡ μὲν ψυχὴν, ἡ δὲ σάρκα· ὁ Χριστὸς[89] διὰ τὸν Ἀδὰμ, τὸν γενόμενον ὑπὸ τὴν ἁμαρτίαν, ὁ κρείσσων ἁμαρτίας καὶ ὑψηλότερος. Διὰ τοῦτο ἀντεισήχθη τῷ παλαιῷ τὸ νέον[90], καὶ διὰ πάθους ὁ παθὼν ἀνεκλήθη, καὶ ὑπὲρ ἑκάστου τῶν ἡμετέρων, ἕκαστον τοῦ ὑπὲρ ἡμᾶς ἀντεδόθη, καὶ γέγονε καινὸν τὸ μυστήριον, ἡ περὶ τὸν πεσόντα δι' ἀπείθειαν ἐκ φιλανθρωπίας οἰκονομία. Διὰ τοῦτο γέννησις καὶ παρθένος· διὰ τοῦτο φάτνη καὶ Βηθλεέμ. Ἡ γέννησις, ὑπὲρ τῆς πλάσεως· ἡ παρθένος, ὑπὲρ τῆς γυναικός. Ἡ Βηθλεὲμ, διὰ τὴν Ἐδέμ· ἡ φάτνη, διὰ τὸν παράδεισον. Τὰ μικρὰ καὶ φαινόμενα, ὑπὲρ τῶν μεγάλων καὶ κρυπτομένων. Διὰ τοῦτο ἄγγελοι δοξάζοντες τὸν οὐράνιον, εἶτα ἐπίγειον, καὶ ποιμένες δόξαν ὁρῶντες ἐπὶ τῷ ἀμνῷ καὶ ποιμένι, καὶ ἀστὴρ ἡγούμενος, καὶ μάγοι προσπίπτοντες καὶ δωροφοροῦντες, ἵν' εἰδωλατρεία καταλυθῇ. Διὰ τοῦτο Ἰησοῦς βαπτιζόμενος, καὶ ἄνωθεν μαρτυρούμενος, καὶ νηστεύων, καὶ πειραζόμενος, καὶ νικῶν τὸν νικήσαντα. Διὰ τοῦτο δαίμονες ἐλαυνόμενοι, καὶ νόσοι θεραπευόμεναι, καὶ τὸ μέγα κήρυγμα μικροῖς[91] ἐγχειριζόμενον καὶ κατορθούμενον. Διὰ τοῦτο ἔθνη φρυασσόμενα, καὶ λαοὶ μελετῶντες κενά[92]. Διὰ τοῦτο ξύλον κατὰ τοῦ ξύλου[93], καὶ κατὰ τῆς χειρὸς

---

77) Ἰατρικῇ τέλος ἐστὶ τὸ φυλάξαι κτλ. 78) Θεραπείᾳ τῶν ψυχῶν τέλος ἐστὶ τὸ πτερῶσαι κτλ. 79) Τὸ κατ' εἰκόνα Θεοῦ. 80) Παῦλ. Ἐφεσ. Γ, 17. 81) Μέτοχον ἢ ἄξιον.
82) Τὸν ἄνθρωπον τὸν ὄντα ἐκ τῆς ἄνω σ. 83) Σκοπὸν ἔχει. 84) Συγκαταβᾶσα ἢ οἱονεὶ κρυβεῖσα μέχρι ἐνανθρωπήσεως· θεολογικὴ ἡ λέξις. 85) Τῆς ψυχῆς. 86) Συνῆλθον ἐν τῷ θεανθρώπῳ Ἰησοῦ. 87) Συνῆλθε διὰ τὴν παρακούσασαν (αὐτὴ μὲν) ψυχήν.
88) Συνῆλθε διὰ τὴν ὑπουργήσασαν (αὐτὴ δὲ) σάρκα. 89) Ἦλθε. 90) Τῷ παλαιῷ πάθει τῶν πρωτοπλάστων τὸ νέον πάθος τοῦ Χ. 91) Τοῖς Ἀποστόλοις. 92) « Ἵνα τί ἐφρύαξαν ἔθνη, καὶ λαοὶ ἐμελέτησαν κενά » Ψαλμ. Β'. 93) Τὸ ξύλον τοῦ Σταυροῦ κατὰ τοῦ ξύλου τῆς γνώσεως.

χεῖρες[*]· τῆς ἀκρατῶς ἐκταθείσης, αἱ γενναίως ταθεῖσαι· τῆς ἀνειμένης, αἱ τοῖς ἥλοις δεθεῖσαι· τῆς ἐκβαλούσης Ἀδὰμ, αἱ τὰ πέρατα οἰκειούμεναι. Διὰ τοῦτο ὕψος κατὰ τοῦ πτώματος[*], ἡ χολὴ κατὰ τῆς γεύσεως, καὶ στέφανος ἀκάνθινος κατὰ τοῦ πονηροῦ κράτους, καὶ θάνατος κατὰ τοῦ θανάτου, καὶ σκότος ὑπὲρ τοῦ φωτὸς, καὶ ταφὴ κατὰ τῆς εἰς γῆν ἀποστροφῆς, καὶ ἀνάστασις ὑπὲρ τῆς ἀναστάσεως[*]. Ταῦτα πάντα παιδαγωγία τις ἦν περὶ ἡμᾶς τοῦ Θεοῦ, καὶ τῆς ἀσθενείας ἰατρεία τῆς ἡμετέρας, τὸν παλαιὸν Ἀδὰμ, ὅθεν ἐξέπεσεν, ἐπανάγουσα, καὶ τῷ ξύλῳ τῆς ζωῆς προσάγουσα, οὗ τὸ ξύλον ἡμᾶς τῆς γνώσεως, οὐ κατὰ καιρὸν οὐδ' ἐπιτηδείως μεταληφθὲν, ἠλλοτρίωσε. Ταύτης ἡμεῖς τῆς θεραπείας ὑπηρέται καὶ συνεργοὶ, ὅσοι τῶν ἄλλων προκαθεζόμεθα. Οἷς μέγα μὲν τὸ τὰ ἴδια πάθη καὶ ἀῤῥωστήματα καὶ γινώσκειν καὶ θεραπεύειν· μᾶλλον δὲ οὔπω μέγα, πλὴν τοῦτο λέγειν ἡμᾶς ἡ τῶν πολλῶν κακία πεποίηκε, τῶν ἐπὶ ταύτης ὄντων τῆς τάξεως· πολλῷ δὲ μεῖζον τὸ τὰ τῶν ἄλλων ἰᾶσθαι δύνασθαι καὶ ἀνακαθαίρειν ἐπιστημόνως καὶ ὡς ἂν ἀμφοτέροις λυσιτελοίη, τοῖς τε θεραπείας χρῄζουσι, καὶ τοῖς ἰατρεύειν πεπιστευμένοις.

Εἶτα οἱ μὲν τῶν σωμάτων θεραπευταὶ πόνους τε καὶ ἀγρυπνίας καὶ φροντίδας ἃς ἴσμεν ἕξουσι, καὶ τὸ ἐπ' ἀλλοτρίαις συμφοραῖς ἰδίας καρποῦσθαι λύπας, ὥς ἔφη τις[*] τῶν παρ' ἐκείνοις σοφῶν. Καὶ τὰ μὲν αὐτοὶ μοχθοῦντες καὶ ἀνευρίσκοντες, τὰ δὲ παρ' ἄλλων ἐρανιζόμενοι καὶ συνεισφέροντες, προσοίσουσι τοῖς δεομένοις· καὶ οὐδὲν οὕτω μικρὸν αὐτοῖς ἢ εὑρεθὲν, ἢ διαφυγὸν, οὐδὲ τῶν ἐλαχίστων, ὡς μὴ μέγα πρὸς τὴν τῆς ὑγείας ῥοπὴν, ἢ τοῦ κινδύνου τοὐναντίον ὑποληφθῆναι· καὶ ταῦτα ὑπὲρ τίνος; Ἵνα ἄνθρωπος ζήσῃ πλείους τὰς ὑπὲρ γῆς ἡμέρας, καὶ οὗτος οὐδὲ τῶν ἐπιεικῶν ἴσως, ἀλλὰ καὶ τῶν μοχθηροτάτων, ᾧ πάλαι τεθνάναι ἴσως ἄμεινον ἦν ὄντι κακῷ, ἵνα τοῦ μεγίστου τῶν ἀῤῥωστημάτων, κακίας ἀπαλλαγῇ. Εἰ δὲ καὶ τῶν καλῶν θείημεν, πόσον βιωσομένῳ; τὸν ἅπαντα χρόνον; ἢ, τί τῆς ἐνταῦθα κερδανοῦντι ζωῆς; ἧς τὸ λυθῆναι ζητεῖν, τῶν καλῶν τὸ πρῶτον καὶ ἀσφαλέστατον, ὡς ἐμοὶ δοκεῖν, καὶ ἀνδρὸς ὄντως ὑγιοῦς καὶ νοῦν ἔχοντος· ἡμῖν δὲ, οἷς τὸ κινδυνευόμενόν ἐστι σωτηρία ψυχῆς, τῆς μακαρίας τε καὶ ἀθανάτου καὶ ἀθάνατα κολασθησομένης ἢ ἐπαινεθησομένης διὰ τὴν κακίαν ἢ ἀρετὴν, πόσον χρὴ δοκεῖν εἶναι τὸν ἀγῶνα, ἢ ὅσης δεῖν τῆς ἐπιστήμης, ἰατρεῦσαι καλῶς ἢ ἰατρευθῆναι, καὶ τὴν ζωὴν μεταθέσθαι[*], καὶ δοῦναι τὸν χοῦν τῷ πνεύματι; Οὐ γὰρ τῶν αὐτῶν[*] οὔτε λόγων οὔτε ὁρμῶν, οὔτε τὸ θῆλυ τῷ ἄῤῥενι, οὔτε γῆρας νεότης, οὔτε πενίᾳ πλοῦτος, οὔτε εὐθυμῶν ἀθυμοῦντι, οὔτε ὁ κάμνων τῷ ὑγιαίνοντι, ἄρχοντές τε καὶ ἀρχόμενοι[*], σοφοί τε καὶ ἀμαθεῖς, δειλοί τε καὶ θρασεῖς, ὀργίλοι καὶ πρᾷοι, κατορθοῦντες καὶ πίπτοντες· κἂν ἔτι ἀκριβῶς ἐξετάσῃς, ὅσον τὸ μέσον[*] τῶν ἐν συζυγίαις πρὸς τοὺς ἀγάμους· κἂν

---

*) Τῆς χειρὸς τοῦ Ἀδὰμ τῆς ἐκταθείσης ἐπὶ τὸ ξύλον τῆς βρώσεως, αἱ χεῖρες τοῦ Χριστοῦ αἱ ἐκταθεῖσαι ἐπὶ τοῦ σταυροῦ. *) Τὸ ὕψος τοῦ σταυροῦ κατὰ τοῦ πτώματος τῆς παραβάσεως. *) Τῆς μελλούσης δηλονότι. *) Ὁ Ἱπποκράτης. *) Μεταβαλεῖν ἀπὸ τοῦ χείρονος ἐπὶ τὰ βέλτιον. *) (Ἐνν.) κοινωνεῖ· ἢ ἄλλο τι ταὐτοσήμαντον. *) (Ἐνν.) Οὐ τῶν αὐτῶν εἰσιν οὔτε λόγων οὔτε ὁρμῶν. *) (Ἐνν.) ἐστίν.

τούτοις[100]; πάλιν, τῶν τῆς ἐρημίας πρὸς τοὺς κοινωνικοὺς καὶ μιγάδας· τῶν ἐξητασμένων καὶ διαβεβηκότων ἐν θεωρίᾳ, πρὸς τοὺς ἁπλῶς κατευθύνοντας· ἀστικῶν τε αὖ καὶ τῶν ἐκ τῆς ἀγροικίας· ἀκεραιοτέρων τε καὶ πανουργοτέρων· τῶν ἐν πράγμασι, πρὸς τοὺς ἡσυχάζοντας· τῶν μεταβολῇ[101] πληγέντων, πρὸς τοὺς εὐδρομοῦντας καὶ ἀμαθεῖς τοῦ χείρονος; Τούτων γὰρ ἕκαστοι πλεῖον ἀλλήλων ἔστιν ὅτε ταῖς ἐπιθυμίαις καὶ ταῖς ὁρμαῖς, ἢ κατὰ τὰς τῶν σωμάτων ἰδέας διαφέροντες· εἰ δὲ βούλει, τὰς[102] τῶν στοιχείων μίξεις καὶ κράσεις, ἐξ ὧν συνεστήκαμεν, οὐ ῥᾴστην ἔχουσι τὴν οἰκονομίαν. Ἀλλ᾽ ὥσπερ τοῖς σώμασιν οὐ τὴν αὐτὴν φαρμακείαν τε καὶ τροφὴν προσφέρονται, ἄλλοι δὲ ἄλλην ἢ εὐεκτοῦντες ἢ κάμνοντες, οὕτω καὶ τὰς ψυχὰς διαφόρῳ λόγῳ καὶ ἀγωγῇ θεραπεύονται· μάρτυρες δὲ τῆς θεραπείας, ὧν καὶ τὰ πάθη· τοὺς μὲν ἄγει λόγος, οἱ δὲ ῥυθμίζονται παραδείγματι· οἱ μὲν δέονται κέντρων, οἱ δὲ χαλινοῦ· οἱ μὲν γὰρ εἰσι νωθεῖς καὶ δυσκίνητοι πρὸς τὸ καλόν, οὓς τῇ πληγῇ τοῦ λόγου διεγερτέον· οἱ δὲ θερμότεροι τοῦ μετρίου τῷ πνεύματι[103], καὶ δυσκάθεκτοι ταῖς ὁρμαῖς, καθάπερ πῶλοι γενναῖοι πόρρω τῆς νύσσης θέοντες· οὓς βελτίους ἂν ποιήσειεν ἄγχων καὶ ἀνακόπτων ὁ λόγος· τοὺς μὲν ἔπαινος ὤνησε, τοὺς δὲ ψόγος, ἀμφότερα μετὰ τοῦ καιροῦ· ἢ τοὐναντίον, ἔβλαψεν, ἔξω τοῦ καιροῦ καὶ τοῦ λόγου· τοὺς μὲν παράκλησις κατορθοῖ, τοὺς δὲ ἐπιτίμησις· καὶ αὕτη[104], τοὺς μὲν ἐν τῷ κοινῷ διελεγχομένους, τοὺς δὲ κρύβδην νουθετουμένους. Φιλοῦσι γὰρ οἱ μὲν καταφρονεῖν τῶν ἰδίᾳ νουθετημάτων, πλήθους καταγνώσει σωφρονιζόμενοι, οἱ δὲ πρὸς τὴν ἐλευθερίαν τῶν ἐλέγχων ἀναισχυντεῖν, τῷ τῆς ἐπιτιμήσεως μυστηρίῳ παιδαγωγούμενοι, καὶ ἀντιδιδόντες τῆς συμπαθείας τὴν εὐπείθειαν· τῶν μὲν πάντα τηρεῖν ἐπιμελῶς ἀναγκαῖον μέχρι καὶ τῶν μικροτάτων, ὅσους τὸ οἴεσθαι λανθάνειν, ἐπειδὴ τοῦτο τεχνάζουσιν, ὡς σοφωτέρους ἐφύσησε· τῶν δέ, ἔστιν ἃ καὶ παρορᾶν ἄμεινον, ὥστε ὁρῶντας μὴ ὁρᾶν, καὶ ἀκούοντας μὴ ἀκούειν, κατὰ τὴν παροιμίαν· ἵνα μὴ πρὸς ἀπόνοιαν αὐτοὺς ἐρεθίζωμεν, τῷ φιλοπόνῳ τῶν ἐλέγχων καταβαπτίζοντες, καὶ τέλος, πρὸς πάντα ποιήσωμεν τολμηρούς, τὸ τῆς πειθοῦς φάρμακον τὴν αἰδῶ διαλύσαντες. Καὶ μέντοι καὶ ὀργιστέον τισὶν οὐκ ὀργιζομένους, καὶ ὑπεροπτέον οὐχ ὑπερορῶντας, καὶ ἀπογνωστέον οὐκ ἀπογινώσκοντας, ὅσων τοῦτο ἡ φύσις ἐπιζητεῖ, καὶ ἄλλους ἐπιεικείᾳ θεραπευτέον καὶ ταπεινότητι, καὶ τῷ συμπροθυμεῖσθαι δὴ περὶ τὰς χρηστοτέρας ἐλπίδας· καὶ τοὺς μὲν νικᾶν, τῶν δὲ ἡττᾶσθαι πολλάκις λυσιτελέστερον· καὶ τῶν μὲν εὐπορίαν καὶ δυναστείαν, τῶν δὲ πενίαν ἢ δυσπραγίαν, ἢ ἐπαινεῖν ἢ ἀπεύχεσθαι. Οὐ γὰρ ὥσπερ ἐπὶ τῆς ἀρετῆς ἔχει καὶ τῆς κακίας, τὴν μὲν καλλίστην εἶναι καὶ ὠφελιμωτάτην ἀεὶ καὶ πᾶσι, τὴν δὲ χειρίστην τε καὶ βλαβερωτάτην, οὕτω καὶ τῆς φαρμακείας τῆς ἡμετέρας, ἕν τι καὶ τὸ αὐτὸ ὑγιεινότατον ἢ ἐπισφαλέστατον ἀεὶ καὶ τοῖς αὐτοῖς ἀποδέδεικται, οἷον τὸ αὐστηρὸν ἢ τὸ πρᾶον, ἢ τῶν ἄλλων, ὧν ἀπηριθμησάμην ἕκαστον· ἀλλὰ τοῖς μὲν τοῦτο καλὸν καὶ χρήσιμον, τοῖς δὲ τὸ ἐναντίον πάλιν, ὅπως ἂν

100) Τοῖς ἀγάμοις. 101) Τύχης ἐπὶ τὰ χείρω. 102) (Κατὰ) τάς. 103) Ἢ τῷ ἀνθρωπίνῳ πνεύματι, ἢ τῷ ἁγίῳ Πνεύματι, κατὰ τὸν Σχολιαστήν. 104) Ἡ ἐπιτίμησις.

ζιμαι, συμπίπτωσιν οἷς τε καιροὶ καὶ τὰ πράγματα, καὶ ὁ τῶν θεραπευομένων ἐπιδέχηται τρόπος.

Ἅπαντα [107] μὲν διελέσθαι λόγῳ καὶ συνιδεῖν ἐπὶ τὸ ἀκριβέστατον, ὥστε καὶ κεφαλαίῳ τὴν θεραπείαν περιλαβεῖν, ἀμήχανον, κἂν ἐπὶ πλεῖστον ἐξίκηταί τις ἐπιμελείας τε καὶ συνέσεως· ἐπὶ δὲ τῆς πείρας αὐτῆς καὶ τῶν πραγμάτων, τῷ θεραπευτῇ λόγῳ καὶ ἀνδρὶ καταφαίνεται. Καθόλου δὲ ἡμῖν ἐκεῖνο γνώριμον, ὅτι καθάπερ τοῖς ἐπὶ κάλου μετεώρου καὶ ὑψηλοῦ βαίνουσι [108], τῇ δὲ ἢ τῇ δὲ ἀποκλῖναι οὐκ ἀσφαλὲς, οὐδὲ εἰς μικρὸν φέρουσα [109] ῥοπὴ κἂν μικρὰ φαίνηται, ἀσφάλεια δὲ αὐτοῖς ἡ ἰσοῤῥοπία καθίσταται· οὕτω κἀν τούτοις, ὁποτέρωσε νεύσῃ τις, εἴτε διὰ κακίαν, εἴτε δι' ἀμαθίαν, κίνδυνος οὐχ ὁ τυχὼν, αὐτῷ τε καὶ τοῖς ἀγομένοις, τοῦ τῆς ἁμαρτίας πτώματος· ἀλλ' ὁδῷ βασιλικῇ πορευτέον ὄντως, καὶ περισκεπτέον, μήτε εἰς δεξιὰ, μήτε εἰς ἀριστερὰ, καθὼς αἱ παροιμίαι φασὶν, ἐκκλίνοντας. Οὕτω μὲν δὴ τὰ τῶν παθῶν ἔχει τῶν ἡμετέρων, καὶ τοσοῦτον ἐνταῦθα τὸ ἔργον τῷ ἀγαθῷ ποιμένι, τῷ γνωστῶς γνωσομένῳ [110] ψυχὰς ποιμνίου, καὶ ἀφηγησομένῳ κατὰ λόγον ποιμαντικῆς, τῆς γε ὀρθῆς καὶ δικαίας, καὶ τοῦ ἀληθινοῦ ποιμένος ἡμῶν ἀξίας.

Αὐτὴν δὲ τὴν τοῦ λόγου διανομὴν [111], ἵνα τελευταῖον εἴπω τὸ πρῶτον τῶν ἡμετέρων, τοῦ θείου λέγω καὶ ὑψηλοῦ, καὶ ὃ νῦν πάντες φιλοσοφοῦσιν, εἰ μέν τις ἄλλος θαῤῥεῖ, καὶ πάσης διανοίας ὑπολαμβάνει, θαυμάζω τοῦτον ἐγὼ τῆς συνέσεως, ἵνα μὴ λέγω τῆς εὐηθείας. Ἐμοὶ δ' οὖν πρᾶγμα φαίνεται οὐ τῶν φαυλοτάτων, οὐδὲ ὀλίγου τοῦ πνεύματος [112], διδόναι κατὰ καιρὸν ἑκάστῳ τοῦ λόγου τὸ σιτομέτριον [113], καὶ οἰκονομεῖν ἐν κρίσει τὴν ἀλήθειαν τῶν ἡμετέρων δογμάτων, ὅσα περὶ κόσμων ἢ κόσμου πεφιλοσόφηται· περὶ ὕλης· περὶ ψυχῆς· περὶ νοῦ καὶ τῶν νοερῶν φύσεων, βελτιόνων τε καὶ χειρόνων [114]· περὶ τῆς τὰ πάντα συνδεούσης τε καὶ διεξαγούσης προνοίας· ὅσα τε κατὰ λόγον ἀπαντᾷν δοκεῖ, καὶ ὅσα παρὰ λόγον τὸν κάτω καὶ τὸν ἀνθρώπινον· ἔτι τε ὅσα περὶ τῆς πρώτης ἡμῶν συστάσεως καὶ τῆς τελευταίας ἀναπλάσεως τύπων [115] τε καὶ ἀληθείας, καὶ διαθηκῶν, καὶ Χριστοῦ παρουσίας πρώτης τε καὶ δευτέρας, σαρκώσεώς τε καὶ παθημάτων, καὶ ἀναλύσεως [116]· ὅσα τε περὶ ἀναστάσεως, περὶ τέλους, περὶ κρίσεως καὶ ἀνταποδόσεως, σκυθρωποτέρας τε καὶ ἐνδοξοτέρας. Τὸ κεφάλαιον· ὅσα περὶ τῆς ἀρχικῆς καὶ μακαρίας Τριάδος ὑποληπτέον· ὅπερ δὴ καὶ κινδύνων μέγιστος τοῖς φωτίζειν πεπιστευμένοις· ὡς μήτε εἰς μίαν ὑπόστασιν συναιρεθέντα τὸν Λόγον δέει πολυθείας, ψιλὰ καταλιπεῖν ἡμῖν τὰ ὀνόματα, τὸν αὐτὸν Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα ὑπολαμβάνουσι· μήτε εἰς τρεῖς [117] ἢ ἐκφύλους καὶ ἀλλοτρίας διαιρεθέντα, ἢ ἀτάκτους καὶ ἀνάρχους, καὶ οἷον εἰπεῖν, ἀντιθέτους, πρὸς κακὸν ἴσον ἐκ τῶν ἐναντίων μεταπεσεῖν· ὥσπερ φυτοῦ διαστροφῆς ἐπὶ θάτερα πολὺ μετεκκλινομένης.

107) Ὀρθότερον, Ἅ πάντα. 108) Τοῖς σχοινοβάταις. 109) Τὸ ἀποτέλεσμα τῆς ῥοπῆς δὲν εἶναι μικρόν. 110) Ἡ ἔκφρασις Γραφική: «Ἐμφάνισόν μοι σεαυτόν, ἵνα γνωστῶς ἴδω σε». Ἐξοδ. λγ', 13. 111) Τὴν διδασκαλίαν τοῦ θείου λόγου. 112) (Ἐνν.) ἴδιον ἢ δεόμενον. 113) «Τοῦ διδόναι αὐτοῖς τὸ σιτομέτριον ἐν καιρῷ», Λουκᾶς, ιβ', 42. 114) Ἀγγέλων δηλ. δαιμόνων. 115) (Ὅσα τε περὶ) τύπων κτλ. (ἐνν.) Πεφιλοσόφηται. Τύποι δὲ τὰ τῆς παλαιᾶς Διαθήκης. 116) Θανάτου. 117) (Ἐνν.) ὑποστάσεις.

Τριῶν γὰρ ὄντων τῶν νῦν περὶ τὴν θεολογίαν ἀῤῥωστημάτων, ἀθεΐας, καὶ Ἰουδαϊσμοῦ, καὶ πολυθεΐας· ὧν τῆς μὲν Σαβέλλιος προστάτης ὁ Λίβυς ἐγένετο· τῆς δὲ Ἄρειος ὁ Ἀλεξανδρεύς· τῆς δὲ, τινὲς τῶν ἄγαν παρ' ἡμῖν ὀρθοδόξων· τίς ὁ ἐμὸς λόγος; Τῶν τριῶν ὅσον ἐστὶ βλαβερὸν διαφυγόντας, ἐν ὅροις μένειν τῆς εὐσεβείας, καὶ μήτε πρὸς τὴν Σαβελλίου ἀθεΐαν ἐκ τῆς καινῆς ταύτης ἀναλύσεως ἢ συνθέσεως [108] ὑπαχθῆναι, μὴ μᾶλλον ἓν τὰ πάντα, ἢ μηδὲν ἕκαστον εἶναι ὁριζομένους· φεύγει γὰρ εἶναι ὅπερ ἐστὶν εἰς ἄλληλα μεταχωροῦντα καὶ μεταβαίνοντα, ἢ σύνθετόν τινα καὶ ἄτοπον ἡμῖν Θεὸν, ὥσπερ τὰ μυθώδη τῶν ζώων σκιαγραφοῦντας καὶ ἀναπλάττοντας· μήτε τὰς φύσεις τέμνοντας κατὰ τὴν Ἀρείου καλῶς ὀνομασθεῖσαν μανίαν, εἰς Ἰουδαϊκὴν πενίαν κατακλεισθῆναι, καὶ φθόνον ἐπεισάγειν τῇ θείᾳ φύσει, μόνῳ τῷ ἀγεννήτῳ τὴν θεότητα περιγράφοντας, ὥσπερ δεδοικότας μὴ διαφθείροιτο ἡμῖν ὁ Θεὸς, Θεοῦ πατὴρ ὢν ἀληθινοῦ καὶ ὁμοτίμου τὴν φύσιν, μήτε τρεῖς ἀρχὰς ἀλλήλαις ἀντεπεξάγοντας, ἢ συντάσσοντας, πολυαρχίαν εἰσάγειν Ἑλληνικὴν, ἣν πεφεύγαμεν. Δέον μήτε οὕτως εἶναί τινας φιλοπάτορας, ὡς καὶ τὸ εἶναι πατέρα περιαιρεῖν· τίνος γὰρ ἂν καὶ εἴη πατὴρ, τοῦ υἱοῦ τὴν φύσιν κεχωρισμένου καὶ ἀπεξενωμένου μετὰ τῆς κτίσεως [109]; οὐ γὰρ τοῦτο υἱὸς, τὸ ἀλλότριον· ἢ συναλειφομένου πρὸς τὸν πατέρα, καὶ συγχεομένου· ἴσον δὲ εἰπεῖν, καὶ συγχέοντος [110]; Μήτε τοσοῦτον φιλοχρίστους, ὡς μήτε τούτῳ [111] φυλάττειν τὸ εἶναι υἱῷ· τίνος γὰρ ἂν καὶ εἴη [112], μὴ πρὸς ἀρχὴν ἀναφερόμενος τὸν πατέρα; μήτε τῷ πατρὶ [113] τὸ τῆς ἀρχῆς ἀξίωμα, τῆς [114] ὡς πατρὶ καὶ γεννήτορι· μικρῶν γὰρ ἂν εἴη καὶ ἀναξίων ἀρχὴ, μᾶλλον δὲ μικρῶς τε καὶ ἀναξίως, μὴ θεότητος ὢν ἀρχὴ καὶ ἀγαθότητος, τῆς ἐν υἱῷ καὶ πνεύματι θεωρουμένης· τῷ μὲν ὡς υἱῷ καὶ λόγῳ, τῷ δὲ ὡς προόδῳ, καὶ οὐ διαλύτῳ πνεύματι. Ἐπειδή γε ἀναγκαῖον καὶ τὸν ἕνα Θεὸν τηρεῖν, καὶ τὰς τρεῖς ὑποστάσεις ὁμολογεῖν, καὶ ἑκάστην μετὰ τῆς ἰδιότητος [115].

Ταῦτ' οὖν μακροτέρου μὲν ἢ κατὰ τὸν παρόντα καιρὸν, οἶμαι δὲ, καὶ βίον, τοῦ λόγου, καὶ νοῆσαι καὶ παραστῆσαι ἱκανῶς τε καὶ ὅσον ἄξιον [116]. Μᾶλλον δὲ καὶ νῦν καὶ ἀεὶ τοῦ πνεύματος [117], ᾧ μόνῳ Θεὸς καὶ νοεῖται καὶ ἑρμηνεύεται καὶ ἀκούεται· καθαρῷ γὰρ μόνον ἁπτέον τοῦ καθαροῦ καὶ ὡσαύτως ἔχοντος.

Οὗ δὲ εἵνεκα νῦν ἐν ὀλίγῳ διεληλύθαμεν, ἵν' ἐκεῖνο δηλώσωμεν. Ὅτι χαλεπὸν ἐν πλήθει μάλιστα περὶ τηλικούτων διαλεγόμενον, ἐκ παντοδαπῆς συγκειμένῳ καὶ ἡλικίας καὶ ἕξεως, οἷον ὀργάνῳ τινὶ πολυχόρδῳ, διαφόρων δεομένῳ καὶ τῶν κρουσμάτων, εὑρεῖν τινα τὸν πάντας καταρτίσαι δυνάμενον λόγον, καὶ λαμπρῦναι τῷ φωτὶ τῆς γνώσεως. Οὐ μόνον ὅτι ἐν

---

[108]) Διότι ὁ Σαβέλλιος εἰς μίαν ὑπόστασιν συνῆγε τὴν ἁγίαν Τριάδα, σύνθετόν τινα θεὸν ἀναπλάττων. [109]) Κατὰ τὴν Ἀρείου δόξαν. [110]) (Κατὰ) τὴν Σαβελλίου αἵρεσιν. [111]) Τῷ Χριστῷ. [112]) (Ἐνν.) υἱός. [113]) Ἀπὸ κοινοῦ τὸ Φυλάττειν. [114]) (Ἐνν.) ἀνηκούσης αὐτῷ.

[115]) Ἰδιότης γὰρ τοῦ μὲν Πατρὸς τὸ γεννῆσαι καὶ ἐκπορεύειν· τοῦ δὲ υἱοῦ τὸ γεννηθῆναι· τοῦ δὲ πνεύματος τὸ ἐκπορεύεσθαι. [116]) Ἡ φράσις περινενοημένη. Τὸ οὖν νοῆσαι κτλ. ταῦτα (δεῖται) μακροτέρου τοῦ λόγου ἢ κατὰ τὸν παρόντα καιρὸν κτλ.

[117]) (Ἐνν.) ἴδιόν ἐστιν.

τρισὶ τούτοις τοῦ κινδύνου σαλεύοντος, διανοίᾳ, καὶ λόγῳ, καὶ ἀκοῇ, ἀναγκαῖον περὶ ἕν γέ τι τούτων, εἰ καὶ μὴ πάντα, προσπταῖσαι· ἢ γὰρ οὐκ ἐνελάμφθη[129] νοῦς, ἢ ὁ λόγος ἠσθένησεν, ἢ οὐκ ἐχώρησεν ἀκοὴ μὴ κεκαθαρμένη, καὶ ὁμοίως ἐξ ἑνὸς τούτων, καὶ πάντων[130], χωλεύειν ἀνάγκη τὴν ἀλήθειαν· ἀλλ᾽ ὅτι καὶ ὃ τοῖς ἄλλο τι διδάσκειν ὑπισχνουμένοις ῥᾷστον ποιεῖ τὸν λόγον καὶ εὐπαράδεκτον, ἡ τῶν ἀκουόντων εὐλάβεια, τοῦτο ἐνταῦθα ἡ ζημία καθίσταται καὶ ὁ κίνδυνος. Ὡς γὰρ περὶ Θεοῦ καὶ τοῦ μεγίστου τῶν ὄντων ἔχοντες τὸν ἀγῶνα, καὶ τῆς σωτηρίας αὐτῆς, καὶ τῆς πρώτης πᾶσιν ἐλπίδος, ὅσῳ τὴν πίστιν εἰσὶ θερμότεροι, τοσούτῳ προσαντέστεροι τῷ λόγῳ. Καὶ προδοσίαν τῆς ἀληθείας, οὐκ εὐσέβειαν τὴν εὐπείθειαν ὑπολαμβάνοντες, πάντα πρόοιντο ἂν πρότερον, ἢ τοὺς οἴκοθεν λογισμοὺς, μεθ᾽ ὧν ἔρχονται, καὶ τῶν δογμάτων, οἷς συνανετράφησαν, τὴν συνήθειαν.

Καὶ τοῦτο ἔτι λέγω τῶν μετριωτέρων καὶ οὐ πάντη κακῶν τὸ πάθος[131], οἳ κἂν τῆς ἀληθείας διαμαρτάνωσιν, ἀλλὰ τῷ γε δι᾽ εὐλάβειαν τοῦτο πάσχειν, καὶ ζῆλον μὲν ἔχειν, ἀλλ᾽ οὐ κατ᾽ ἐπίγνωσιν, τυχὸν ἔσονται τῶν οὐ σφόδρα κατακρινομένων, οὐδὲ πολλὰς δερομένων[132], ὡς οἱ διὰ κακίαν καὶ πονηρίαν, τοῦ δεσποτικοῦ θελήματος ἀποπίπτοντες. Καὶ τάχα ἂν οὗτοι μεταπεισθεῖέν ποτε καὶ μεταβληθεῖεν ὑπὸ τῆς αὐτῆς εὐλαβείας, ὑφ᾽ ἧς καὶ ἀντέβαινον, εἴτις αὐτῶν ἅψαιτο λόγος, ἢ οἴκοθεν, ἢ ἔξωθεν κρούσας καιρίως, ὥσπερ σίδηρος πυρίτην λίθον, τὴν ἐγκύμονα καὶ ἀξίαν φωτὸς διάνοιαν, ἐν ᾗ καὶ τάχιστα ἂν ἐκ σμικροῦ σπινθῆρος ὁ τῆς ἀληθείας πυρσὸς ἐκλάμψειε. Τί δ᾽ ἂν εἴποι τις περὶ τῶν διὰ κενοδοξίαν ἢ φιλαργίαν, ἀδικίαν εἰς τὸ ὕψος λαλούντων[133], Ἰαννοῦ τινος, ἢ Ἰαμβροῦ[134] μεγαληγορίας, οὐ κατὰ Μωϋσέως, τῆς δὲ ἀληθείας ὁπλιζομένων, καὶ τῆς ὑγιαινούσης κατεξανισταμένων διδασκαλίας; Ἢ[135] τῆς τρίτης μοίρας, τῶν δι᾽ ἀπαιδευσίαν καὶ τὴν ἑπομένην ταύτῃ θρασύτητα, ὁμόσε παντὶ λόγῳ χωρούντων συώδει πάθει, καὶ καταπατούντ[ων] τοὺς καλοὺς μαργαρίτας[136] τῆς ἀληθείας; Ἢ[137] ὅσοι μηδεμίαν μὲν οἴκοθ[εν] ὑπόληψιν φέροντες, μηδέ τινα τύπον τῶν περὶ Θεοῦ λόγων ἢ χείρονα βελτίονα, πᾶσι δὲ ὑποτιθέντες ἑαυτοὺς λόγοις καὶ διδασκάλοις, ὡς ἐξ ἁπάντων ἐκλεξάμενοι τὸ κρεῖττον καὶ ἀσφαλέστερον, καὶ κριταῖς οὐ καλοῖς ἀληθείας σφίσιν αὐτοῖς πιστεύσαντες; Ἔπειτα ὑπὸ τῆς πιθανότητος λοτε ἄλλης περιφερόμενοι καὶ στρεφόμενοι, καὶ παντὶ λόγῳ καταπλυθέ καὶ πατηθέντες, πολλοὺς ἀμείψαντες διδασκάλους, καὶ πολλὰ γράμματα ὥσπερ χοῦν ἀνέμοις ῥᾳδίως ὑποβαλόντες, τέλος ἀποκαμόντες καὶ ἀκο καὶ διάνοιαν, (ὢ τῆς ἀλογίας!) πρὸς πάντα λόγον ὁμοίως δυσχεραίνου καὶ μοχθηρὸν τύπον ἑαυτοῖς ἐγγράφουσιν αὐτῆς[138], καταγελᾷν ἡμῶν[139] καταφρονεῖν, ὡς ἀστάτου καὶ οὐδὲν ὑγιὲς ἐχούσης τῆς πίστεως, μεταβ

---

129) Ἐλλάμπομαι. 130) (Ἐκ) πάντων. 131) Τὸ πάθος τοῦτο (ἐστὶν ἴδιον) τῶν μετρ.
132) «Ὁ μὴ γνοὺς καὶ ποιήσας, δαρήσεται ὀλίγας», Λουκᾶς ΙΒ', 47, 48.
133) Ψαλμ. ογ', 8. 134) Ἰαννῆς καὶ Ἰαμβρῆς, οἱ δύο μάγοι τοῦ Φαραώ, οἱ ἀντιπαραθαυματουργοῦντες τῷ Μωϋσῇ. 135) Ἀπὸ κοινοῦ τὸ Τί ἂν εἴποι τις περί. 136) Εὐαγγ. Ματθ. ζ', 6.
137) Ἢ (τί ἂν εἴποι τις περὶ ἐκείνων) ὅσοι. 138) (Ἐνν.) τῆς ἀληθείας, ἢ τῆς πίστεως.
139) Τῆς πίστεως ἡμῶν.



ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΔΙΕΘΝΟΥΣ ... ΦΙΛΟΣΟΦΙΑΣ Ε. Σ. Κ. τ. Π. ΙΩΑΝΝΙΝΑ 2006

νοῦντες ἀπαιδεύτως ἀπὸ τῶν λεγόντων ἐπὶ τὸν λόγον[110]. Ὥσπερ ἂν εἴ τις τοὺς ὀφθαλμοὺς κακῶς διακείμενος, ἢ τὰ ὦτα διεφθαρμένος, κατηγοροίη τοῦ ἡλίου, ἢ τῶν φωνῶν· τοῦ μὲν, ὡς ἀμαυροῦ καὶ οὐ στίλβοντος· τῶν δὲ, ὡς ἐκμελῶν καὶ ἀτόνων. Καὶ διὰ τοῦτο ῥᾷον ἄρτι καινοτομεῖν[111] ἀλήθειαν ψυχῇ, ὥσπερ κηρὸν οὔπω κεχαραγμένον· ἢ γράφειν κατὰ γραμμάτων, πονηρῶν λέγω διδαγμάτων τε καὶ δογμάτων, εὐσεβῆ λόγον, ὡς συγχεῖσθαι καὶ ἀτακτεῖν τοῖς προτέροις τὰ δεύτερα. Ὁδὸν μὲν γὰρ πατεῖν ἄμεινον τὴν λείαν καὶ τετριμμένην, ἢ τὴν ἀτριβῆ καὶ τραχεῖαν, καὶ γῆν ἀροῦν, ἣν πολλάκις ἄροτρον ἔτεμε καὶ ἡμέρωσε· ψυχὴν, δὲ γράφειν[112], ἣν οὔπω λόγος ἐχάραξε μοχθηρὸς, οὐδὲ εἰς βάθος τὰ τῆς κακίας ἐνεσημάνθη γράμματα. Δύο γὰρ ἂν οὕτω τὰ ἔργα γένοιτο τῷ θεοσεβεῖ καλλιγράφῳ, ἐξαλείφειν τε τοὺς προτέρους τύπους, καὶ μεταγράφειν τοὺς δοκιμωτέρους τε καὶ τοῦ μένειν ἀξιωτέρους.

Τοσοῦτοι μὲν δὴ καὶ κατὰ τὰ λοιπὰ πάθη, κατὰ τὸν λόγον αὐτὸν, οἱ πονηροὶ τύποι καὶ χαρακτῆρες! Τοσοῦτον δὲ τὸ ἔργον τῷ ταύτην πεπιστευμένῳ τὴν ψυχῶν παιδαγωγίαν καὶ προστασίαν! καὶ τὰ πλείω παρῆκεν ὁ λόγος, ἵνα μὴ περιττότερος ᾖ τοῦ δέοντος. Ὥσπερ οὖν εἴ τις θηρίον ἐκ πολλῶν θηρίων συγκείμενον, πολυειδὲς καὶ πολύμορφον, μειζόνων τε καὶ μικροτέρων, ἡμερωτέρων τε καὶ ἀγριωτέρων, ἄγειν ἐπιχειροίη καὶ τιθασσεύειν, πάντως ἂν ἦν ἔργον[113] αὐτῷ, καὶ οὐ μικρὸν τὸ ἀγώνισμα, οὕτως ἀνωμάλου καὶ ἀλλοκότου προστατεῖν φύσεως, οὔτε φωναῖς ταῖς αὐταῖς, οὔτε τροφαῖς, οὔτε χειρὸς ἐπαφαῖς, οὔτε συρίγμασιν, οὔτε τοῖς τῆς ἄλλης ἀγωγῆς τρόποις ἑκάστου τῶν θηρίων χαίροντος, ἄλλων δὲ ἄλλοις ἡδομένων ἢ ἀχθομένων, ὡς ἡ φύσις ἑκάστου καὶ ἡ συνήθεια. Καὶ τί ἂν ἔδει ποιεῖν τὸν τοιούτου θηρὸς ἐπιστάτην, τί δ' ἄλλο γε, ἢ πολυειδῆ τε εἶναι καὶ ποικίλον τὴν ἐπιστήμην, καὶ κατάλληλον ἑκάστῳ προσάγειν τὴν θεραπείαν, ὡς ἂν ἄγοιτο καλῶς αὐτῷ τὸ θηρίον, καὶ διασώζοιτο· οὕτως ἐκ πολλῶν καὶ διαφόρων ἠθῶν καὶ λόγων, καθάπερ ἑνὸς ζώου συνθέτου καὶ ἀνομοίου, τοῦ κοινοῦ τούτου τῆς Ἐκκλησίας συγκειμένου σώματος, πᾶσα ἀνάγκη καὶ τὸν προστάτην ἁπλοῦν τε εἶναι τὸν αὐτὸν κατὰ τὴν ἐν πᾶσιν ὀρθότητα, καὶ ὅτι μάλιστα παντοδαπὸν καὶ ποικίλον, κατὰ τὴν πρὸς ἕκαστον οἰκείωσιν καὶ τὸ τῆς ὁμιλίας πρὸς πάντας ἐπιτήδειόν τε καὶ πρόσφορον. Οἱ μὲν γὰρ δέονται γάλακτι τρέφεσθαι, τοῖς ἁπλουστέροις καὶ στοιχειωδεστέροις τῶν δογμάτων, ὅσοι τὴν ἕξιν νήπιοι καὶ ἀρτιπαγεῖς, ὡς ἂν εἴποι τις, τὴν ἀνδρείαν[114] τοῦ λόγου τροφὴν οὐ φέροντες, ἣν εἰ προσάγοι τις παρὰ δύναμιν, τάχα ἂν καταπιεσθέντες καὶ βαρυνθέντες (οὐκ ἐξαρκούσης τῆς διανοίας, ὥσπερ ἐκεῖ[115] τῆς ὕλης, τὸ ἐπεισελθὸν ἑλκῦσαι καὶ οἰκειώσασθαι) ζημιωθεῖεν ἂν καὶ εἰς τὴν ἀρχαίαν δύναμιν· οἱ δὲ, τῆς ἐν τοῖς τελείοις λαλουμένης σοφίας χρῄζοντες

---

110) Διὰ τὴν ἀστασίαν τῶν λεγόντων καταφρονοῦντες ὡς ἀστάτου καὶ τοῦ λόγου.

111) Ῥᾷόν ἐστι τὸ καινοτομεῖν (ἐντέμνειν, ἐγχαράττειν ἀπὸ καινῆς) τὴν ἀλήθειαν ψυχῇ ἢ γράφειν (ἐγγράφειν, ἐγχαράττειν) τὸν εὐσεβῆ λόγον κατὰ γραμμάτων (ἐπὶ ψυχῆς τῆς φερούσης ἐγκεχαραγμένα ἄλλα γράμματα, τὰ πονηρὰ διδάγματα), ὥστε συγχεῖσθαι τοῖς πρώτοις τὰ δεύτερα. 112) Ἀπὸ κοινοῦ τὸ Ἄμεινον. 113) Δύσκολον δηλ. 114) Ἀνδρείαν μεταφορικῶς, ἀνδρικήν. 115) Ἐν τῇ τροφῇ τῶν νηπίων.

ΙΩΑΝΝΙΝΑ 2006

καὶ τροφῆς τῆς ὑψηλοτέρας καὶ στερροτέρας, τῷ[145] πρὸς διάκρισιν ἀληθοῦς τε καὶ ψεύδους ἱκανῶς γεγυμνάσθαι τὰ αἰσθητήρια, εἰ γάλα ποτίζοιντο, καὶ τρέφοιντο λαχάνοις, ἀσθενῶν βρώματι, δυσχεραίνειεν ἂν καὶ μάλα εἰκότως· οὐ δυναμούμενοι κατὰ Χριστόν, οὐδὲ αὔξοντες τὴν ἐπαινετὴν αὔξησιν, ἣν ἐργάζεται λόγος τελειῶν εἰς ἄνδρας, καὶ εἰς μέτρον ἡλικίας[146] ἄγων πνευματικῆς τὸν καλῶς τρεφόμενον.

Πρὸς ταῦτα τίς ἱκανός[147]; Οὐ γάρ ἐσμεν ὡς οἱ πολλοί, καπηλεύειν δυνάμενοι τὸν λόγον τῆς ἀληθείας, καὶ ἀναμιγνύναι τὸν οἶνον ὕδατι, τὸν εὐφραίνοντα καρδίαν ἀνθρώπου [λόγον] τῷ πολλῷ καὶ εὐώνῳ καὶ χαμαὶ συρομένῳ καὶ ἐξιτήλῳ καὶ εἰκῇ ῥέοντι, ὥστε αὐτοί τι παρακερδαίνειν ἐκ τῆς καπηλείας, ἄλλοτε ἄλλως ὁμιλοῦντες τοῖς πλησιάζουσι καὶ πᾶσι πρὸς χάριν, ἐγγαστρίμυθοί τινες ὄντες καὶ κενολόγοι, τὰς ἑαυτῶν ἡδονὰς θεραπεύοντες λόγοις ἐκ γῆς φωνουμένοις καὶ δυομένοις εἰς γῆν, ὡς ἂν μάλιστα εὐδοκιμοῖεν παρὰ τοῖς πολλοῖς, ὅτι μάλιστα ζημιοῦντες ἑαυτοὺς ἢ ἀπολλύντες, καὶ αἷμα ἀθῴων ἁπλουστέρων ψυχῶν ἐκχέοντες, ἐκ τῶν χειρῶν ἡμῶν ἐκζητηθησόμενον· Ἀλλ' εἰδότες[148] ἑτέροις βέλτιον εἶναι τὰς ἑαυτῶν ἡνίας ἐνδιδόναι τεχνικωτέροις, ἢ ἄλλων ἡνιόχους εἶναι ἀνεπιστήμονας, καὶ ἀκοὴν ὑποτιθέναι μᾶλλον εὐγνώμονα, ἢ γλῶσσαν κινεῖν ἀπαίδευτον. Ταῦτα διαλεχθέντες ἡμῖν αὐτοῖς, καὶ ἴσως οὐ φαύλοις συμβούλοις, εἰδὲ μή γε, ἀλλ' οὖν εὔνοις, καὶ τὰ ῥητέα καὶ τὰ πρακτέα μαθεῖν οὐκ εἰδότες μᾶλλον ἢ διδάσκειν ἀγνοοῦντες, ἐδοκιμάσαμεν. Ἀγαπητὸν γὰρ ὅτῳ[149], κἂν εἰς βαθὺ γῆρας λόγος ἀφίκοιτο πολιός, καὶ ὠφελῆσαι νέαν ἐν εὐσεβείᾳ ψυχὴν δυνάμενος. Ὡς τό γε παιδεύειν ἄλλους ἐπιχειρεῖν, πρὶν αὐτοὺς ἱκανῶς παιδευθῆναι, καὶ ἐν πίθῳ τὴν κεραμείαν[150] μανθάνειν, τὸ δὴ λεγόμενον, ἐν ταῖς τῶν ἄλλων ψυχαῖς ἐκμελετᾶν τὴν εὐσέβειαν, λίαν εἶναί μοι φαίνεται ἀνοήτων, ἢ τολμηρῶν. Ἀσυνέτων μέν, εἰ μηδὲ αἰσθάνοιντο τῆς ἑαυτῶν ἀμαθίας· θρασέων δέ, εἰ καὶ συνιέντες, κατατολμῶσι τοῦ πράγματος.

Ἑβραίων μὲν οὖν οἱ σοφώτεροι λέγουσιν, ὡς ἄρα ἦν τις πάλαι νόμος Ἑβραίοις, ἐν τοῖς μάλιστα εὖ ἔχων καὶ ἐπαινούμενος, μὴ πᾶσαν ἡλικίαν πάσῃ γραφῇ ἐνδίδοσθαι· μηδὲ γὰρ εἶναι τοῦτο λυσιτελέστερον, ὅτι μηδὲ πᾶσαν[151] εὐθέως εἶναι παντὶ ληπτήν, καὶ τὰ μέγιστα ἂν τοὺς πολλοὺς κακῶσαι τῷ φαινομένῳ[152] τὴν βαθυτέραν· ἀλλὰ τὰς μὲν ἀπ' ἀρχῆς ἀνεῖσθαι πᾶσι καὶ εἶναι κοινάς, ὧν καὶ τὸ σωματικὸν[153] οὐκ ἀδόκιμον· τὰς δὲ μὴ ἄλλοις, ἢ τοῖς ὑπὲρ εἰκοστὸν καὶ πέμπτον γεγονόσιν ἔτος, πιστεύεσθαι· ὅσαι δι' εὐτελοῦς τοῦ ἐνδύματος τὸ μυστικὸν κάλλος περικαλύπτουσιν· ἆθλον[154] φιλοπονίας καὶ λαμπροῦ βίου, μόνοις τοῖς κεκαθαρμένοις τὸν νοῦν ὑπα-

---

145) (Ἐπὶ) τῷ γεγυμνάσθαι, ἐπειδὴ εἶνε ἤδη γεγυμνασμένοι. 146) Παῦλ. Ἐφεσ. δ', 13.
147) (Ἐνν.) Οὐδείς· ὅθεν ἐπιφέρεται κ. ἡ αἰτιολογία. 148) Ἐνν. ἀπὸ κοινοῦ τὸ Ἐσμέν.
149) Ὁποῖος κατορθώσῃ τοὐλάχιστον εἰς τὸ γῆράς του ν' ἀποκτήσῃ λόγον πολιὸν κτλ., πρέπει νὰ τὸ νομίζῃ ἀγαπητὸν (χάριν). 150) Παροιμία. 151) Γραφήν. 152) Καὶ τὴν βαθυτέραν (γραφὴν) τὰ μέγιστα ἂν κακῶσαι τοὺς πολλοὺς τῷ φαινομένῳ (τῷ ἐξωτερικῷ, τῇ ἐπιφανείᾳ τῆς λέξεως), «ὁποῖα δηλ., λέγει ὁ Σχολιαστής, ἡ τοῦ Ἄσματος τῶν ᾀσμάτων τῷ φαινομένῳ αἰσχρῷ». 153) Τὸ ὁποῖον ἀνωτέρω εἶπε Φαινόμενον, κ. κατωτέρω ἐρεῖ Γράμμα. 154) (Ἀνεῖσθαι ὥσπερ) ἆθλον.

ΙΩΑΝΝΙΝΑ 2006

…τρέπτον καὶ φανταζόμενον, ὡς μόνης δυναμένης τῆς ἡλικίας ταύτης τὸ σῶμα γενέσθαι, καὶ ἀναβῆναι καλῶς ἐπὶ τὸ πνεῦμα ἀπὸ τοῦ γράμματος. Ἡμῖν δὲ οὐδεὶς ὅρος τοῦ παιδεύειν καὶ τοῦ παιδεύεσθαι, ὥσπερ οἱ λίθοι πάλαι ταῖς ὑπὲρ τὸν Ἰορδάνην καὶ ταῖς ἐντὸς Ἰορδάνου φυλαῖς[155]· οὐδὲ τισὶ[156] μὲν ἐκεῖνο, τισὶ[156] δὲ τοῦτο ἐπιτρεπτέον· οὐδέ τις κανὼν τῶν ἕξεων[157], ἀλλ' οὕτω τὸ πρᾶγμα ἔρριπται καὶ συγκέχυται, καὶ οὕτω κακῶς διακείμεθα, ὥστε οἱ πλείους ἡμῶν, ἵνα μὴ λέγω πάντες, πρὶν ἀποθέσθαι σχεδὸν τὴν πρώτην τρίχα[158] καὶ τὸ τὰ παιδικὰ ψελλίζεσθαι, πρὶν παρελθεῖν εἰς τὰς θείας αὐλὰς[159], πρὶν τῶν ἱερῶν βιβλίων γνῶναι καὶ τὰ ὀνόματα, πρὶν καινῆς καὶ παλαιᾶς χαρακτῆρα γνωρίσαι καὶ τοὺς προστάτας[160]· οὔπω γὰρ λέγω πρὶν ἢ τὸν βόρβορον ἀποπλύνασθαι, καὶ τὰ τῆς ψυχῆς αἴσχη ὅσα ἡ κακία ἡμῖν προσεμάξατο· ἂν δύο ἢ τρία ῥήματα τῶν εὐσεβῶν ἐξασκήσωμεν, καὶ ταῦτα ἐξ ἀκοῆς, οὐκ ἐντεύξεως, ἢ τῷ Δαβὶδ βραχέα καθομιλήσωμεν[161], ἢ τὸ τριβώνιον[162] εὖ περιστειλώμεθα, ἢ μέχρι τῆς ζώνης φιλοσοφήσωμεν[163], εὐσεβείας τι πλάσμα καὶ ὄψιν ἡμῖν αὐτοῖς περιγράψαντες· βαβαὶ τῆς προεδρίας (καὶ τοῦ φρονήματος[164])! ἱερὸς καὶ ἐκ σπαργάνων ὁ Σαμουήλ[165]· εὐθὺς ἐσμὲν σοφοὶ καὶ διδάσκαλοι, καὶ ὑψηλοὶ τὰ θεῖα, καὶ γραμματέων τὰ πρῶτα καὶ νομικῶν, καὶ χειροτονοῦμεν ἡμᾶς αὐτοὺς οὐρανίους, καὶ καλεῖσθαι ὑπὸ τῶν ἀνθρώπων Ῥαββὶ ζητοῦμεν[166], καὶ[167] οὐδαμοῦ τὸ γράμμα, καὶ πάντα δεῖ νοηθῆναι πνευματικῶς, καὶ[168] λῆρος πλατὺς τὰ ὀνείρατα[169], καὶ ἀγανακτοίημεν ἄν, εἰ μὴ σφόδρα ἐπαινοίμεθα. Τοῦτο[170] ἡμῶν οἱ χρηστότεροι καὶ ἁπλούστεροι.

Τί δὲ οἱ πνευματικοὶ μᾶλλον καὶ γενναιότεροι; Πολλὰ κατακρίναντες ἡμᾶς, ἂν οὕτω δόξῃ, καὶ βασανίσαντες, καὶ οὐδαμοῦ θέντες, ἀπῆλθον, καὶ τὴν κοινωνίαν ὡς οὐκ εὐσεβῶν διαπτύσαντες. Ἂν δέ τινι αὐτῶν λέγωμεν, ἠρωτοῦσι πράως καὶ λογικῶς προβιβάζοντες· Εἰπέ μοι, ὦ θαυμάσιε, καλεῖς τι τὸ ὀρχεῖσθαι, τό τε αὐλεῖν; Πάνυ γε, εἴποιεν ἄν. Τί δαί; σοφίαν τε καὶ σοφὸν εἶναι, τοῦθ' ὃ δὴ θείων τε καὶ ἀνθρωπίνων ἐπιστήμην τιθέμεθα; Καὶ

---

155) Κατακτήσαντες οἱ Ἑβραῖοι, μετὰ τὴν ἐξ Αἰγύπτου φυγήν, τὴν γῆν τῆς ἐπαγγελίας (τὴν Παλαιστίνην), διενεμήθησαν αὐτὴν κατὰ φυλάς, τοποθετηθέντες, οἱ μὲν ἔνθεν οἱ δὲ ἐκεῖθεν τοῦ Ἰορδάνου, διακρινομένων τῶν ὁρίων ἑκάστης φυλῆς διὰ τῶν ἐπὶ τούτῳ στηθέντων λίθων. 156) Ἴσως διορθ. Τίσι. 157) Τῶν διαφόρων τῆς ψυχῆς καὶ τοῦ σώματος διαθέσεων (καταστάσεων). 158) Τὴν παιδικήν. 159) Εἰς τὸν ἔσω τῶν ἐκκλησιῶν περίβολον (εἰς τὸ Καθολικόν, καθὼς λέγομεν τώρα). Διότι κατ' ἐκείνους τοὺς χρόνους οἱ ἀκατήχητοι καὶ οἱ μήπω βαπτισθέντες (διότι ἐβαπτίζοντο τριακοντούτεις) ἐξήρχοντο τοῦ Καθολικοῦ ἀρχομένης τῆς λειτουργίας καὶ ἐστέκοντο εἰς τὰ ὡς ἐκ τούτου κληθέντα Κατηχούμενα· 160) Τοὺς συγγραφεῖς. 161) Ἀναγνώσωμεν τὸ Ψαλτήριον. 162) Τὸ ράσον.

163) Φορέσωμεν δηλ. δερματίνην ζώνην ἀντὶ σηρικῆς κτλ., ἢ ἀντὶ τῆς πρὶν χαλαρωτέρας ἢ πλατυτέρας, συσφίγξωμεν αὐτὴν καὶ στενεύσωμεν. 164) Τί ἔλεεινοὶ ἢ σχηματίαι πρόεδροι! 165) Κατ' εἰρωνείαν: Φρονοῦμεν ὅτι εἴμεθα ἡγιασμένοι ἐκ κοιλίας μητρός, καθὼς ὁ Σαμουήλ, ὅς τις παῖς ἔτι ὤν, ἐλειτούργει τῷ Θεῷ εἰσερχόμενος εἰς τὰ Ἄδυτα τοῦ ναοῦ. Ἴδε Βασιλ. Α', ά, 6. 166) Εὐαγγ. Ματθ. κγ', 7. 167) Λέγομεν δηλ. ὅτι οὐδαμοῦ κατὰ γράμμα ἐκληπτέον τὰ τῆς θείας γραφῆς, ἀλλὰ κατὰ τὸ πνεῦμα πάντα καὶ ἀλληγορικῶς· διότι ἔφη, κατὰ τὸν Ἀπόστολον, « Τὸ γράμμα ἀποκτείνει ». 168) (Λέγομεν ὅτι).

169) « Τὰ ὁραθέντα καὶ διακριθέντα », λέγει ὁ Σχολιαστής, παρὰ τῇ θείᾳ δηλονότι Γραφῇ· ὅλα δὲ ταῦτα ὡς λόγοι τῶν ἐπιπηδώντων εἰς τὸ ἀξίωμα τῆς ἱερωσύνης. 170) Ποιοῦσιν ἢ εἶπον ἤ, ἄλλο τι ὅμοιον.

τοῦτο δώσουσι. Πότερον δὲ κρεῖττον εἶναι καὶ ὑψηλότερον, ταῦτα[171] σοφίας
ἢ τούτων μακρῷ τὴν σοφίαν; Καὶ πάντων[172], εὖ οἶδ' ὅτι φήσουσι· καὶ μ
χρι τούτων εἰσὶν εὐγνώμονες. Ἆρ' οὖν ὀρχήσεως μὲν καὶ αὐλήσεώς ἐστι
διδασκαλία καὶ μάθησις, καὶ χρόνου πρὸς τοῦτο δεῖ, καὶ ἱδρώτων συχνῶ
καὶ πόνων, καὶ μισθοὺς καταβαλεῖν ἐστιν ὅτε, καὶ προσαγωγῶν δεηθῆναι,
καὶ ἀποδημῆσαι μακρότερα, καὶ τἆλλα τὰ μὲν ποιῆσαι πάντα, τὰ δὲ πα-
θεῖν, οἷς ἐμπειρία συλλέγεται· τὴν δὲ σοφίαν, ἣ πᾶσιν ἐπιστατεῖ, καὶ
πάντα ἐν ἑαυτῇ τὰ καλὰ συλλαβοῦσα ἔχει, ὡς καὶ τὸν Θεὸν αὐτὸν τοῦτο
μᾶλλον ἤ τι ἄλλο χαίρειν ἀκούοντα, ἐπειδὴ καλεῖται πολλοῖς ὀνόμασιν,
οὕτω κοῦφόν τι καὶ πεπατημένον πρᾶγμα ὑπολημψόμεθα, ὥστε θελῆσαι δεῖν[173]
μόνον, καὶ εἶναι σοφόν; Πολλῆς τοῦτο[174] τῆς ἀμαθίας! Ἂν ταῦτα λέγωμεν
αὐτοῖς, καὶ κατὰ μικρὸν τὴν πλάνην ἀνακαθαίρωμεν, ἤ τις ἄλλος[175] τῶν
εὐμαθεστέρων καὶ συνετωτέρων, τοῦτο ἐκεῖνο[176], [τὸ] κατὰ πετρῶν σπείρειν,
καὶ λαλεῖν εἰς ὦτα μὴ ἀκουόντων. Οὕτως οὐδ' αὐτὸ τοῦτο[177] εἰσὶ σοφοί, τὴν
ἑαυτῶν γινώσκειν ἀπαιδευσίαν! Καί μοι δοκεῖ καλῶς ἔχειν, τὸ τοῦ Σολο-
μῶντος[178] εἰπεῖν περὶ αὐτῶν· « Ἔστι πονηρία, ἣν εἶδον ὑπὸ τὸν ἥλιον,
ἄνδρα δόξαντα παρ' ἑαυτῷ σοφὸν εἶναι· » καὶ ὃ τούτου πονηρότερον, παι-
δεύειν ἄλλους πεπιστευμένον, τὸν μηδὲ τῆς οἰκείας ἀμαθίας ἐπαισθανό-
μενον. Τοῦτο δακρύων μὲν καὶ στεναγμῶν, εἴπερ τι ἄλλο πάθος, ἄξιον! ὃ
καὶ πολλάκις ἐγὼ κατηλέησα, εὖ εἰδώς, ὅτι τὸ οἴεσθαι τοῦ εἶναι τὸ πλεῖ-
στον ἀφαιρεῖται, καὶ μέγα τοῖς ἀνθρώποις ἡ κενοδοξία πρὸς ἀρετὴν ἐμπόδιον.
Ἰάσασθαι δὲ καὶ στῆσαι τὴν νόσον, Πέτρου ἂν εἴη τινός, ἢ Παύλου, τῶν
μεγάλων Χριστοῦ μαθητῶν, καὶ μετὰ τῆς ἐν λόγῳ καὶ ἔργῳ κυβερνήσεως
εἰληφότων τὸ χάρισμα, καὶ πᾶσι πάντα γινομένων, ἵνα τοὺς πάντας κερ-
δήσωσιν[179]. Ἡμῖν δὲ τοῖς ἄλλοις μέγα κἂν εἰ καλῶς κυβερνοίμεθα καὶ
ἀγοίμεθα πρὸς τῶν ἐπανορθοῦν τὰ τοιαῦτα καὶ διευθύνειν πεπιστευμένων.

Ἀλλ' ἐπειδή γε Παύλου καὶ τῶν κατ' ἐκεῖνον ἐμνήσθημεν, ἀφέντες, εἰ
δοκεῖ, τοὺς ἄλλους ἅπαντας, ὅσοι κατὰ νομοθεσίαν, ἢ προφητείαν, ἢ στρα-
τηγίαν, ἤ τινα τοιαύτην ἄλλην οἰκονομίαν τοῦ λαοῦ προεβλήθησαν, οἷον
τὸν Μωϋσῆν, τὸν Ἀαρὼν ἐκεῖνον, τὸν Ἰησοῦν, τὸν Ἠλίαν, τὸν Ἐλισσαῖον,
τοὺς Κριτάς, τὸν Σαμουήλ, τὸν Δαβίδ, τῶν προφητῶν τὸ πλῆθος, τὸν Ἰωάν-
νην, τοὺς δώδεκα μαθητάς, τοὺς ἐπ' ἐκείνοις ὕστερον[180], οἳ πολλοῖς ἱδρῶσι
καὶ πόνοις διεξῆλθον τὴν προστασίαν κατὰ τοὺς ἑαυτῶν χρόνους ἕκαστοι,
τούτους ὑπερβάντες ἅπαντας, Παῦλον προστησώμεθα μόνον τοῦ λόγου συ-
νίστορα, κἂν τούτῳ θεωρήσωμεν, ὅσον ἐστὶν ἡ ψυχῶν ἐπιμέλεια, καὶ εἰ βρα-
χείας[181] τῆς πραγματείας, ἢ μικρᾶς τῆς συνέσεως. Ὡς ἂν δὲ ῥᾷστα τοῦτο
γνοίημεν καὶ κατίδοιμεν, τί Παῦλος αὐτὸς περὶ Παύλου φησὶν ἀκούσωμεν.
Ἐῶ λέγειν[182] τοὺς πόνους, τὰς ἀγρυπνίας, τοὺς φόβους, τὰς ἐν λιμῷ καὶ δί-

171) Τὸ ὀρχεῖσθαι καὶ τὸ αὐλεῖν. 172) (Καὶ τούτων) καὶ πάντων (τῶν ἄλλων).
173) Ὥστε δεῖν θελῆσαι. 174) (Ἐνν.) Τεκμήριον ἢ σημεῖόν ἐστι. 175) (Ἐνν.) λέγει ἢ
ἀνακαθαίρῃ. 176) (Ἐνν.) Ἔσται. 177) Οὐδὲ (περὶ) αὐτὸ τοῦτο, (καὶ ὡς ἐπεξήγ.) τὸ γινώ-
σκειν. 178) Ἐκκλησ. Ι', 5. 179) Παῦλ. Κορινθ. Α', θ', 21. 180) Τοὺς ἑβδομήκοντα.
181) (Ἐνν.) Δεῖται ἢ Ἐστὶν ἴδιον. 182) Παῦλ. Κορινθ. Β', ια', 23—29, καὶ ς', 4—10.

ΕΡΓΑΣΤΗΡΙΟ ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ΤΟΜΕΑΣ ΦΙΛΟΣΟΦΙΑΣ ΔΙΕΥΘΥΝΤΗΣ ΕΡΓΑΣΤΗΡΙΟΥ ΚΑΘΗΓΗΤΗΣ ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΟΣ
ΕΓ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

φει κακοπαθείας, τὰς ἐν ψύχει καὶ ἐν γυμνότητι, τοὺς ἔξωθεν ἐπιβουλεύον-
τας, τοὺς ἔνδοθεν ἀντιπράττοντας· ἀφίημι τοὺς διωγμούς, τὰ συνέδρια,
τὰ δεσμωτήρια, τὰ δεσμά, τοὺς κατηγόρους, τὰ δικαστήρια, τοὺς καθ' ἡμέ-
ραν καὶ ὥραν θανάτους, τὴν σαργάνην […], τοὺς λιθασμούς, τοὺς ῥαβδισμούς,
τὴν περίοδον, τοὺς κατὰ γῆν κινδύνους, τοὺς κατὰ θάλασσαν, τὸν βυθὸν […],
τὰ ναυάγια, κινδύνους ποταμῶν, κινδύνους λῃστῶν, κινδύνους ἐκ γένους, κιν-
δύνους ἐν ψευδαδέλφοις, τὸν ἐκ χειρῶν βίον, τὸ ἀδάπανον Εὐαγγέλιον, δς
θέατρον ἦν καὶ ἀγγέλοις καὶ ἀνθρώποις, μέσος Θεοῦ καὶ ἀνθρώπων ἱστά-
μενος· ὑπὲρ μὲν τῶν ἀγωνιζόμενος, τῷ δὲ προσάγων καὶ οἰκειῶν λαὸν πε-
ριούσιον· χωρὶς τῶν παρεκτὸς τούτων· τίς ἂν ἀξίως διέλθοι τὴν καθ' ἡμέ-
ραν ἐπιστασίαν, τὴν τῶν καθ' ἕκαστον κηδεμονίαν, τὴν μέριμναν πασῶν
τῶν Ἐκκλησιῶν, τὸ πρὸς πάντας συμπαθὲς καὶ φιλάδελφον; Προσέκοπτέ
τις, καὶ Παῦλος ἠσθένει· καὶ ἄλλος ἐσκανδαλίζετο, καὶ ὁ Παῦλος ἦν ὁ φλε-
γόμενος. Τὸ δὲ τῆς διδασκαλίας φιλόπονον […]; τὸ δὲ ποικίλον τῆς θεραπείας;
ἡ φιλανθρωπία δὲ […]; τὸ δὲ αὐστηρὸν πάλιν; ἡ δὲ ἐξ ἀμφοτέρων μίξις καὶ
κρᾶσις, ὡς μήτε τῇ χρηστότητι μαλακίζεσθαι, μήτε τραχύνειν τῇ χαλε-
πότητι; νομοθετεῖ δούλοις καὶ δεσπόταις, ἄρχουσι καὶ ἀρχομένοις, ἀνδράσι
καὶ γυναιξί, γονεῦσι καὶ τέκνοις, γάμῳ καὶ ἀγαμίᾳ, ἐγκρατείᾳ καὶ τρυφῇ,
σοφίᾳ καὶ ἀμαθείᾳ, περιτομῇ καὶ ἀκροβυστίᾳ, Χριστῷ […] καὶ κόσμῳ, σαρκὶ
καὶ πνεύματι. Ὑπὲρ μὲν τῶν εὐχαριστεῖ· τῶν δὲ καθάπτεται. Τοὺς μὲν
χαρὰν καὶ στέφανον ὀνομάζει· τοῖς δὲ ἄνοιαν ἐγκαλεῖ. Τοῖς μὲν συνοδεύει
καὶ συμπροθυμεῖται ὀρθοτομοῦσι· τοὺς δὲ ἀνακόπτει κακῶς ὁδεύοντας. Νῦν
ἀφορίζει, νῦν […] ἀγάπην κυροῖ, νῦν θρηνεῖ, νῦν εὐφραίνεται, νῦν γάλα πο-
τίζει […], νῦν μυστηρίων ἅπτεται, νῦν συγκατέρχεται […], νῦν ἑαυτῷ συνυψοῖ,
νῦν ῥάβδον ἀπειλεῖ […], νῦν προτείνεται πνεῦμα πρᾳότητος, νῦν ἐπαίρεται
τοῖς ὑψηλοῖς […], νῦν ταπεινοῦται τοῖς ταπεινοῖς […]. Ἄρτι τῶν Ἀποστόλων ἐστὶν
ἐλάχιστος, ἄρτι δοκιμὴν ὑπισχνεῖται τοῦ ἐν αὐτῷ λαλοῦντος Χριστοῦ· ἄρτι
τὴν ἐκδημίαν ποθεῖ καὶ σπένδεται· ἄρτι παραμεῖναι τῇ σαρκὶ δι' αὐτοὺς ἀναγ-
καιότερον δοκιμάζει. Οὐ γὰρ ζητεῖ τὸ ἑαυτοῦ, ζητεῖ δὲ τὸ τῶν τέκνων, οὓς ἐν
Χριστῷ διὰ τοῦ Εὐαγγελίου ἐγέννησεν· οὗτος ὅρος πάσης πνευματικῆς προ-
στασίας, πανταχοῦ τὸ καθ' ἑαυτὸν παρορᾶν, πρὸς τὸ τῶν ἄλλων συμφέρον.
Ἐγκαυχᾶται ταῖς ἀσθενείαις καὶ ταῖς θλίψεσιν, ὡς ἄλλῳ τινὶ κόσμῳ· τῇ Ἰη-
σοῦ νεκρώσει ἐγκαλλωπίζεται· ὑψηλός ἐστι τὰ σαρκικά, καὶ τοῖς πνευματι-
κοῖς ἀγάλλεται· οὐκ ἰδιώτης τὴν γνῶσιν, καὶ βλέπειν φησὶ δι' ἐσόπτρου καὶ
ἐν αἰνίγματι· θαῤῥεῖ τῷ πνεύματι, καὶ ὑπωπιάζει τὸ σῶμα καθαίρων ὡς

---

[illegible]) Εἰς τὰ ὁποῖα ἐφέρετο δικασθησόμενος. [illegible]) «Ἐν Δαμασκῷ ὁ ἐθνάρχης Ἀρέτα τοῦ
» βασιλέως ἐφρούρει τὴν Δαμασκηνῶν πόλιν, πιάσαι με θέλων· καὶ διὰ θυρίδος ἐν σαρ-
» γάνῃ ἐχαλάσθην διὰ τοῦ τείχους, καὶ ἐξέφυγον τὰς χεῖρας αὐτοῦ». Παῦλ. Κορινθ. Β'.
ια', 32. [illegible]) Διότι ναυαγήσας νυχθήμερον ἐν τῷ βυθῷ διέμεινε. [illegible]) Κατ' ἐπανάλη-
ψιν, καὶ ἀποσιώπησιν ἵνα ταῦτα πάντα παραλείπωμεν. [illegible]) (Ἀπὸ κοινοῦ τὸ) Τίς ἂν ἀξίως
διέλθοι; [illegible]) Ἔστρεψε τὸν λόγον εἰς ὀνομαστικήν, ποικίλλων τὴν φράσιν. [illegible]) Τοῖς ἐν
Χριστῷ καὶ κατὰ Χριστὸν δηλονότι ζῶσι. [illegible]) Ἄλλοτε δέ. [illegible]) Διότι ἔγραφε πρὸς τοὺς
Κορινθ. Α'. γ'. 2. «Γάλα ὑμᾶς ἐπότισα, καὶ οὐ βρῶμα· οὔπω γὰρ ἠδύνασθε». [illegible]) Συγ-
καταβαίνει. [illegible]) «Τί θέλετε; ἐν ῥάβδῳ ἔλθω πρὸς ὑμᾶς;» Κορινθ. Α'. δ'. 21.
[illegible]) Ἡ δοτικὴ χαριστική.

τάπαλον. Τί διδάσκων ἡμᾶς ἐν τούτοις, καὶ τί παιδεύων; Μὴ φρονεῖν[195]
τας κάτω, μὴ φυσιοῦσθαι τῇ γνώσει, μὴ τὴν σάρκα ἐπεγείρειν τῷ πνεύματι.
Πάντων ὑπερμαχεῖ, πάντων ὑπερεύχεται, ζηλοῖ πάντας, ἀνάπτεται ὑπὲρ
πάντων, τῶν ἔξω νόμου, τῶν ὑπὸ νόμον, κῆρυξ ἐθνῶν, Ἰουδαίων προστάτης.
Ἐτόλμησέ τι καὶ μεῖζον ὑπὲρ τῶν ἀδελφῶν αὐτοῦ τῶν κατὰ σάρκα [ἵνα
τολμήσω τι καὶ αὐτός[196], οὕτω λέγων)· ἀντεισαχθῆναι τούτους ἑαυτοῦ Χρι-
στῷ διὰ τὴν ἀγάπην εὔχεται[197]. Ὢ τῆς μεγαλονοίας! ὢ τῆς τοῦ πνεύματος
ζέσεως! Μιμεῖται Χριστόν, τὸν γενόμενον ὑπὲρ ἡμῶν κατάραν[198], τὸν τὰς
ἀσθενείας ἡμῶν ἀναλαβόντα καὶ τὰς νόσους βαστάσαντα· ἢ, τό γε μετρι-
ώτερον εἰπεῖν, παθεῖν τι ὑπὲρ αὐτῶν, καὶ ὡς ἀσεβὴς, δέχεται, πρῶτος ἀπὸ
Χριστοῦ, μόνον εἰ οὗτοι σῴζοιντο. Καὶ τί λέγω καθ' ἕκαστον; Ζῶν γὰρ οὐχ
ἑαυτῷ, Χριστῷ δὲ καὶ τῷ κηρύγματι· καὶ τὸν κόσμον ἑαυτῷ σταυρώσας,
καὶ σταυρωθεὶς κόσμῳ καὶ τοῖς ὁρωμένοις, πάντα ἡγεῖται μικρὰ, καὶ τῆς
ἐπιθυμίας ἐλάττονα, κἂν ἀπὸ Ἱερουσαλὴμ κύκλῳ μέχρι τοῦ Ἰλλυρικοῦ
πληρώσῃ τὸ Εὐαγγέλιον, κἂν ἐπὶ τὸν τρίτον οὐρανὸν φθάσῃ δι' ἁρπαγῆς,
κἂν τοῦ παραδείσου γένηται θεατὴς, κἂν τῶν ἀῤῥήτων ἡμῖν ῥημάτων ἀ-
κροατής. Ταῦτα[199] Παῦλος· καὶ εἴ τις κατ' ἐκεῖνον τῷ πνεύματι.
Ἡμεῖς δὲ δεδοίκαμεν παρὰ τούτους[200], μὴ μωροί τινες ὦμεν ἄρχοντες
Τάνεως[201], ἢ πράκτορες καλαμώμενοι, ἢ μακαρίζοντες τὸν λαὸν ψευδῶς·
προσθήσω δὲ, καὶ μακαριζόμενοι[202], καὶ τὴν τρίβον τῶν ποδῶν ὑμῶν ταράσ-
σοντες. Ἢ ἐμπαῖκται κυριεύοντες· ἢ νεανίσκοι προστάται καὶ ἀτελεῖς τὴν
φρόνησιν, μηδ' ὅσον ἄρτου καὶ ἱματίου πρὸς τὸ καθηγεῖσθαί τινων εὐπο-
ροῦντες· ἢ προφῆται, διδάσκοντες ἄνομα. Ἢ ἄρχοντες ἀπειθοῦντες, καὶ
κακῶς ἀκούειν μετὰ τῶν πατρίων ἄξιοι διὰ λιμοῦ σκληρότητα· ἢ ἱερεῖς, τοῦ
λαλεῖν εἰς τὴν καρδίαν Ἱερουσαλὴμ πλεῖστον ἀπέχοντες· ἃ δὴ πάντα ὁ τῷ
Σεραφὶμ καὶ τῷ ἄνθρακι καθαρθεὶς Ἠσαΐας[203] ὀνειδίζει καλῶς καὶ μαρτύρεται.
Ἆρ' οὖν τὸ μὲν ἔργον[204] τοσοῦτον, καὶ οὕτως ἐπίπονον τῇ αἰσθητικῇ
καρδίᾳ καὶ λυπηρᾷ[205], καὶ ὄντος στῆς ὀστέων[206] τῷγε νοῦν ἔχοντι· μικρὸς
δὲ ὁ κίνδυνος, ἢ τὸ πτῶμα εὐκαταφρόνητον; Ἀλλά μοι πολὺν ἐπεντείνεται
φόβον, ἔνθεν μὲν ὁ μακάριος Ὠσηέ[207], πρὸς ἡμᾶς εἶναι τὸ κρῖμα λέγων τοὺς
ἱερεῖς καὶ τοὺς ἄρχοντας· ὅτι παγὶς ἐγεννήθημεν ἐν τῇ σκοπιᾷ[208], καὶ ὡς
δίκτυον ἐκτεταμένον ἐπὶ τὸ Ἰταβύριον[209], ὅ[210] καταπεπῆχθαι ὑπὸ τῶν ἀν-
θρωπίνας ἀγρευόντων ψυχάς· ἀποθερίζειν τε τοὺς φαύλους ἀπειλῶν προφή-
ταις καὶ πυρὶ καταναλίσκειν τοὺς κριτὰς αὐτῶν, ἐφέξειν τε μικρὸν τοῦ χρίειν
βασιλέα καὶ ἄρχοντας, ὅτι ἑαυτοῖς ἐβασίλευσαν, ἀλλ' οὐδι' αὐτοῦ[211]. Ἔνθεν

---

195) Μεγαλοφρονεῖν (ἐπὶ) τοῖς. 196) Ἐγὼ, κολάζει δὲ τὴν φράσιν διότι μεταχειρίζεται
τὴν λέξιν Ἐ τ ό λ μ η σ ε. 197) « Ηὐχόμην γὰρ αὐτὸς ἐγὼ ἀνάθεμα εἶναι ἀπὸ Χριστοῦ ὑπὲρ
» τῶν ἀδελφῶν μου τῶν συγγενῶν μου κατὰ σάρκα, οἵτινές εἰσιν Ἰσραηλῖται», Ῥωμ. θ', 3.
198) Παῦλ. Γαλάτ. γ', 13. 199) Ποιεῖ. 200) Παραβαλλόμενοι πρὸς τούτους. 201) Πάντα
ταῦτα ἐκ τοῦ Προφήτου Ἡσαΐου (Γ', 4, 6, 8, 12). 202) Ὑπὸ τῶν κολάκων. 203) Ἴδε Ἡσ. ς'.
204) Τῆς τῶν ψυχῶν θεραπείας, τῆς ἱερωσύνης. 205) Λύπης ἐπιδεκτικῇ. 206) Παροιμ.
Σολομ. ιζ', 30. κέ, 20. 207) Ὠσ. Ε', 1—2. ς', 5. Ζ', 7. Η', 4. 10. 208) Ἐπὶ τῆς ἱερα-
τικῆς δηλονότι περιωπῆς, ὅθεν καὶ Ἐ π ί σ κ ο π ο ι. 209) Ὄρος ὑψηλὸν τῆς Ἰουδαί-
ας (;). 210) Δίκτυον φησὶ καταπ. 211) Τοῦ Θεοῦ.

ΙΩΑΝΝΙΝΑ 2006

εὶ ὁ θεῖος Μιχαίας[212], οὐ φέρων οἰκοδομουμένην Σιὼν ἐν αἵμασιν (ὑπερ-
ραις βούλει[213]), καὶ Ἱερουσαλὴμ ἐν ἀδικίαις, τῶν ἡγουμένων αὐτῆς μετὰ
δώρων κρινόντων, καὶ τῶν ἱερέων μισθοῦ[214] ἀποκρινομένων[215], καὶ τῶν προ-
φητῶν μετὰ ἀργυρίου μαντευομένων. Ἀνθ' ὧν τί γενήσεσθαι[216]; Σιὼν ὡς
ἀγρὸν ἀροτριαθήσεσθαι, καὶ Ἱερουσαλὴμ ὡς ὀπωροφυλάκιον[217] ἔσεσθαι, καὶ
τὸ ὄρος τοῦ οἴκου[218] εἰς ἄλσος δρυμοῦ[219] λογισθήσεσθαι· θρηνῶν τε τὴν ἐρη-
μίαν τῶν κατορθούντων[220], ὡς μόλις που καλάμην ὑπολείπεσθαι, ἢ ἐπιφυλ-
λίδα. Ὁπότε καὶ τὸν ἄρχοντα αἰτεῖν[221], καὶ τὸν κριτὴν λόγους πρὸς χάριν
λαλεῖν· καὶ σχεδὸν τὰ αὐτὰ τῷ μεγάλῳ Δαβὶδ φθεγγόμενος, Σῶσόν με,
Κύριε, λέγοντι[222], ὅτι ἐκλέλοιπεν ὅσιος. Ἐξ οὗ καὶ τὰ ἀγαθὰ ἐπιλείψειν[223]
αὐτούς, ὡς ὑπὸ σητὸς δαπανώμενα. Ἰωὴλ[224] δὲ ἡμῖν καὶ θρῆνον διακελεύε-
ται, καὶ κόπτεται βούλεται τοὺς λειτουργοῦντας τῷ θυσιαστηρίῳ, λιμοῦ
πιέζοντος[225] (τοσοῦτον ἀπέχει τρυφᾶν ἐπιτρέπειν ἐν ταῖς τῶν ἄλλων κα-
κοῖς)· καὶ πρὸς τὸ ἁγιάζειν[226] νηστείαν καὶ κηρύσσειν θεραπείαν[227], συν-
αγαγεῖν πρεσβυτέρους, νήπια, ἡλικίας ἐλεεινάς. Ἔτι καὶ αὐτοὺς[228] τὸ ἱερὸν
καταλαβόντας ἐν σποδῷ καὶ σάκκοις, καὶ λίαν ταπεινῶς κατὰ γῆς ἐρριμμέ-
νους, «διότι τεταλαιπωρήκει πεδία τῇ ἀκαρπίᾳ, καὶ ἐξῆρτο ἐξ οἴκου Κυρίου
» σπονδὴ καὶ θυσία », ἕλκειν[229] τῇ ταπεινώσει τὸν ἔλεον. Τί δαὶ ὁ Ἀβακοὺμ;
Οὗτος μὲν καὶ θερμοτέρων ἅπτεται λόγων, καὶ πρὸς αὐτὸν ἀποδυσπετεῖ
τὸν Θεόν, καὶ οἷον καταβοᾷ τοῦ χρηστοῦ δεσπότου, διὰ τὴν τῶν κριτῶν
ἀδικίαν, « Ἕως τίνος, Κύριε, κεκράξομαι, λέγων, καὶ οὐ μὴ εἰσακούσεις,
» βοήσομαι πρὸς σὲ ἀδικούμενος, καὶ οὐ σώσεις; Ἵνα τί μοι ἔδειξας κόπους
» καὶ πόνους, ἐπιβλέπειν ἐπὶ ταλαιπωρίαν καὶ ἀσέβειαν; ἐξ ἐναντίας μου
» γέγονε κρίσις, καὶ ὁ κριτὴς λαμβάνει· διὰ τοῦτο διεσκέδασται νόμος,
» καὶ οὐ διεξάγεται εἰς τέλος κρίμα. » Εἶτα ἡ ἀπειλὴ καὶ τὰ ἐπὶ τούτοις·
» Ἴδετε οἱ καταφρονηταί, θαυμάσατε, καὶ ἴδετε θαυμάσια, καὶ ἀφανίσθητε·
» διότι ἔργον[230] ἐγὼ ἐργάζομαι ». Καὶ τί χρὴ πάντα ἐπιφέρειν τὰ τῆς ἀπει-
λῆς· ἀλλὰ μικρὸν ἔμπροσθεν (τοῦτο γάρ μοι δοκεῖ βέλτιον εἶναι προσθεῖναι
τοῖς εἰρημένοις), πολλοὺς ἀνακαλεσάμενος καὶ ἀποκλαυσάμενος, τῶν περί
τι ἀδίκων καὶ πονηρῶν, τέλος ἀνακαλεῖται καὶ τοὺς τῆς μοχθηρίας ἡγεμό-
νας καὶ διδασκάλους, ἀνατροπὴν μὲν θολερὰν[231] τὴν κακίαν ἀποκαλῶν, καὶ
τοῦ νοῦ μέθην καὶ πλάνην· ποτίζεσθαι δὲ λέγων τούτοις ὑπ' αὐτῶν τοὺς
πλησίον, ὅπως ἐπιβλέπωσιν[232] ἐπὶ τὸ σκότος αὐτῶν τῆς ψυχῆς, καὶ τὰ σπή-

---

212) Μιχ. Γ΄. 10. 213) Εἴτε τοῖς σωματικοῖς δηλ. εἴτε τοῖς ψυχικοῖς. 214) Ἕνεκα μ. τοῦ λαοῦ ἐρωτήσεις. 215) Ὡς ἀπὸ τοῦ Θεοῦ εἰς τὰς γινομένας πρὸς αὐτοὺς ὑπὸ τῶν ἐκ τοῦ λαοῦ ἐρωτήσεις. 216) (Ἐνν.) Προλέγει ἡ Ἀπειλεῖ. 217) Καλύβην ὀπωροφύλακος ἐγκαταλελειμμένην μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν. 218) Τοῦ ἐν Ἱεροσολύμοις ναοῦ, ᾠκοδομημένου, ὡς γνωστόν, ἐπὶ τοῦ ὄρους Μοριά. 219) Διὰ τὴν ἐρημίαν τῶν ἀναβαινόντων. 220) Τῶν ἐναρέτων, τῶν ἀξίων. 221) (Ἐνν.) Προλέγει ἡ Ἀπειλεῖ. 222) (Ἐνν.) Φησὶν ἡ φθέγγεται. 223) Ψαλμ. ιά. 224) (Ἐνν.) Προλέγει ἡ Ἀπειλεῖ. 225) Ἐπικρατοῦντος. 226) Ἄρχεσθαι αὐτοὺς πρώτους. 227) Ἰωὴλ Α΄, 8. 228) Ἡμᾶς τοὺς ἱερεῖς. 229) Ἐπισπᾶσθαι πρὸς ἑαυτοὺς λατρείαν πρὸς τὸν Θεόν. 230) Μέγα δηλονότι, καθὼς καὶ τώρα κοινῶς λέγομεν ἡ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν. 231) Ἀπὸ μεταφορᾶς τοῦ ἀνατρεπομένου καὶ ἐκχεομένου θολουμένου οἴνου κτλ. 232) Διορθ. Ὅπως μὴ ἐπιβλέψωσιν.

ΙΩΑΝΝΙΝΑ 2006

λαια[333], ἑρπετῶν καὶ θηρίων, λογισμῶν πονηρῶν, οἰκητήρια. Οὗτοι[334] μὲν
δὴ τοιοῦτοι, καὶ μετὰ τοιούτων ἡμῖν διαλεγόμενοι τῶν παιδευμάτων.
Μαλαχίαν[334*] δὲ πῶς παριδεῖν[335], νῦν μὲν ἐγκαλοῦντα πικρῶς τοῖς ἱε-
ρεῦσι καὶ ὀνειδίζοντα, ὡς τὸ ὄνομα Κυρίου φαυλίζουσι καὶ προστιθέντα
ἐν τίσιν· ἐν τῷ προσάγειν πρὸς τὸ θυσιαστήριον ἄρτους ἠλισγημένους[336],
βρώματα οὐ καρπώματα[337], καὶ ἃ μηδ' ἂν τῶν ἡγουμένων τινὶ προσενέγ-
κοιεν, ἢ ἀτιμασθεῖεν ἂν προσενεγκόντες· ταῦτα προσφέρειν τῷ βασιλεῖ τῶν
ὅλων εὐχὴν εὐξαμένους, χωλὰ καὶ ἄῤῥωστα καὶ διεφθαρμένα, καὶ βέβηλα
παντελῶς καὶ ἀπόπτυστα· νῦν δὲ[338] τῆς πρὸς τοὺς Λευΐτας τοῦ Θεοῦ δια-
θήκης ὑπομιμνήσκοντα, ἡ δὲ ἦν τῆς ζωῆς καὶ τῆς εἰρήνης, καὶ φόβῳ φο-
βεῖσθαι τὸν Κύριον, καὶ ἀπὸ προσώπου τοῦ ὀνόματος αὐτοῦ στέλλεσθαι[339].
«Νόμος, φησὶν[340], ἀληθείας ἐν τῷ στόματι αὐτοῦ, καὶ ἀδικία οὐχ εὑρέθη
» ἐν τοῖς χείλεσιν αὐτοῦ· ἐν εἰρήνῃ κατευθύνων ἐπορεύθη μετ' ἐμοῦ, καὶ
» πολλοὺς ἐπέστρεψεν ἐξ ἀδικίας· ὅτι χείλη ἱερέως φυλάξεται γνῶσιν, καὶ
» νόμον ἐκζητήσουσιν ἐκ στόματος αὐτοῦ». Καὶ ἡ αἰτία ὡς τιμία τε
ἅμα καὶ φοβερά! » Διότι ἄγγελος Κυρίου παντοκράτορός ἐστιν». Καὶ
παραιτοῦμαι μὲν τῶν ἐπὶ τούτοις ἀρῶν τὸ βλάσφημον, φοβοῦμαι δὲ τὴν
ἀλήθειαν[341]. Ἀλλ' ὃ μέτριόν τε εἰπεῖν ἅμα καὶ συμφέρον[342]. «Εἰ ἔτι ἄξιον,
» φησὶν[343], ἐπιβλέψαι εἰς θυσίαν ἡμῶν, ἢ λαβεῖν δεκτὸν ἐκ τῶν χειρῶν
ἡμῶν;» Ὡς ἂν μάλιστα δυσχεραίνων, καὶ τὴν ἱερουργίαν αὐτῶν διὰ
τὴν κακίαν ἀποπεμπόμενος.

Ζαχαρίου μὲν γὰρ ὅταν μνησθῶ, φρίσσω τὸ δρέπανον[344] ὁμοίως καὶ ἃ
κατὰ τῶν ἱερέων[345] μαρτύρεται οὗτος. Ἃ μὲν (γὰρ) περὶ Ἰησοῦ τοῦ πάνυ
ἱερέως τοῦ μεγάλου παραδηλοῖ[346], ὃν περιδύσας τῷ λόγῳ τὴν ῥυπαρὰν
ἐσθῆτα καὶ ἀναξίαν, τὴν ἱερατικὴν καὶ λαμπρὰν περιτίθησιν, ὅσα τε ἄγ-
γελος αὐτῷ λέγων πρὸς τὸν Ἰησοῦν καὶ ἐπισκήπτων πεποίηται, ταῦτα μὲν
ὡς μείζονα καὶ ὑψηλότερα[347] ἴσως, ἢ κατὰ τοὺς πολλοὺς ἱερέας ἀναφερό-
μενα[348], σιωπῇ τιμάσθω· πλὴν ὅτι καὶ τούτου ἐκ δεξιῶν ὁ διάβολος εἱστήκει
τοῦ ἀντικεῖσθαι αὐτῷ· πρᾶγμα ἐμοὶ γοῦν οὐ μέτριον, οὐδὲ ὀλίγου φόβου
καὶ φυλακῆς ἄξιον. Ἃ δὲ τῶν λοιπῶν κατηγορεῖ ποιμένων ἐπιμελῶς καὶ
καθάπτεται, τίς οὕτω τολμηρὸς καὶ τὴν ψυχὴν ἀδαμάντινος, ὥστε μὴ τρέ-
μειν ἀκούων, καὶ αὐτὸς ἑαυτοῦ γίνεσθαι μετριώτερος; Φωνή, φησὶ[349], θρη-
» νούντων ποιμένων· ὅτι τεταλαιπώρηκεν ἡ μεγαλωσύνη αὐτῶν.» Φωνὴ
ὠρυομένων λεόντων· ὅτι τάδε[350] πεπόνθασι. Μονονοὺκ ἀκούει τῶν θρήνων,
ὡς ἤδη παρόντων, καὶ συνθρηνεῖ τοῖς πάσχουσιν. Ἔτι δὲ μικρὸν ἔμπροσθεν
πληκτικώτερον καὶ σφοδρότερον, «Ποιμαίνετε, φησὶ, τὰ πρόβατα τῆς σφα-
» γῆς, ἃ οἱ κτησάμενοι κατέσφαζον, καὶ οὐ μετεμέλοντο· καὶ οἱ πωλοῦν-

---

333) Καὶ (ἐπὶ) τὰ σπήλαια. 334) Οἱ διαληφθέντες προφῆται. 334*) Μαλαχ. Α΄, 6, 7.
335) ('Εν.) ἐστὶν οἷόν τε. 336) Μεμιασμένους. 337) Ἐν ἄλλοις φέρεται· Ἀπάργματα.
338) Κεφ. Β΄, 4. 339) Συστέλλεσθαι, Ὑποστέλλεσθαι. 340) Κεφ. Β΄, 6. 341) Αὐτῶν
τῶν ἀρῶν. 342) Τοῦτο ἐρῶ, οὐ παραιτήσομαι. 343) Κεφ. Β΄, 13. 344) Ζαχ. κεφ. Ε΄.
345) Κεφ. Ζ΄. 5. 346) Κεφ. Γ΄, Ϛ΄, 11. 347) Ἴσως διορθ. «Καὶ ὑψηλότερον ἴσως ἢ κατὰ
» τοὺς πολλοὺς ἱερέας ἀναφερόμενα». 348) Ὅσα δηλ. ἀνεφέρει ἐν
τῇ προφητείᾳ αὐτοῦ ὁ Ζαχαρίας. 349) Κεφ. ΙΑ΄. 3.

» πας αὐτὰ, ἔλεγον· Εὐλογητὸς Κύριος, καὶ πεπλουτήκαμεν· καὶ οἱ ποιμέ» νες αὐτῶν οὐκ ἔπασχον οὐδὲν ἐπ' αὐτοῖς. Διὰ τοῦτο οὐ φείσομαι οὐκ ἔτι » ἐπὶ τοὺς κατοικοῦντας τὴν γῆν, λέγει Κύριος Παντοκράτωρ. Καὶ πάλιν » Ῥομφαία[250] ἐξεγέρθητε ἐπὶ τοὺς ποιμένας, καὶ πατάξατε τοὺς ποιμένας, » καὶ ἐκσπάσατε τὰ πρόβατα, καὶ ἐπάξω τὴν χεῖρά μου ἐπὶ τοὺς ποι» μένας, καὶ ὠργίσθη ὁ θυμός μου ἐπὶ τοὺς ποιμένας, καὶ ἐπὶ τοὺς ἀ» μνοὺς[251] ἐπισκέψομαι· » προσθεὶς ἤδη τῇ ἀπειλῇ καὶ τοῦ λαοῦ τοὺς προέχοντας. Οὕτω φιλοπόνως προκαθέζεται[252] τῷ λόγῳ, καὶ οὐδὲ ἀπαλλαγῆναι δύναται ῥᾳδίως τῶν ἀπειλῶν! Ὥστε δέδοικα μὴ καὶ αὐτὸς ἀπευκτὸς ὦ, πάντων ἑξῆς μεμνημένος. Ἀλλ' ὁ μὲν Ζαχαρίας οὕτως.

Ἵνα δὲ τοὺς ἐν τῷ Δανιὴλ παραδράμωμεν πρεσβυτέρους[253]· καὶ γὰρ παραδράμοιμεν[254] καὶ τὸ τῷ δεσπότῃ περὶ αὐτῶν καλῶς εἰρημένον καὶ προηγορευμένον· »Ὅτι ἐξῆλθεν ἀνομία ἐκ Βαβυλῶνος ἐκ πρεσβυτέρων κριτῶν, οἳ ἐδόκουν κυβερνᾷν τὸν λαόν· πῶς οἴσομεν Ἰεζεκιὴλ τὸν τῶν μεγάλων ἐπόπτην καὶ ἐξηγητὴν μυστηρίων καὶ θεαμάτων; Πῶς μὲν ἃ τοῖς σκοποῖς[255] διακελεύεται μὴ κατασιωπᾷν τὴν κακίαν καὶ τὴν ἐπερχομένην ταύτῃ ῥομφαίαν, ὡς οὔτε αὐτοῖς τοῦτο λυσιτελοῦν, οὔτε τοῖς ἁμαρτάνουσι· τοῦ δὲ προϊδέσθαι καὶ προκηρύξαι ἀμφοτέρους ὀνήσοντος[256], εἰ οἱ μὲν[257] εἴποιεν, οἱ δὲ[258] ἀκούσαιεν, ἢ πάντως γε τοὺς μηνύσαντας[259]; Πῶς δὲ τὴν ἄλλην καταδρομὴν[260], ἣν ποιεῖται κατὰ τῶν ποιμαινόντων; νῦν μὲν ἐν τούτοις τοῖς ῥήμασιν[261]· «Οὐαὶ ἐπὶ οὐαὶ ἔσται, καὶ ἀγγελία ἐπὶ ἀγγελίαν· καὶ » ἐκζητηθήσεται ὅρασις ἐκ προφήτου, καὶ νόμος ἀπολεῖται ἐξ ἱερέως, καὶ » βουλὴ ἐκ πρεσβυτέρων· » νῦν δὲ ἐκεῖνος πάλιν[262]· «Υἱὲ ἀνθρώπου, εἰπὸν » αὐτῇ[263]· Σὺ εἶ γῆ οὐ βρεχομένη, οὐδὲ ὑετὸς ἐγένετο ἐπὶ σὲ ἐν ἡμέρᾳ ὀρ» γῆς, ἧς οἱ ἀφηγούμενοι ἐν μέσῳ αὐτῆς ὡς λέοντες ὠρυόμενοι, ἁρπάζον» τες ἁρπάγματα, ψυχὰς κατεσθίοντες ἐν δυναστείᾳ.» Καὶ μετ' ὀλίγα· «Οἱ » ἱερεῖς αὐτῆς ἠθέτουν νόμον μου, καὶ ἐβεβήλουν τὰ ἅγιά μου· βεβήλοις τε » καὶ ἁγίοις, φησὶν, οὐ διέστελλον, ἀλλὰ πάντα ἦν αὐτοῖς ἕν· καὶ ἀπὸ » τῶν σαββάτων μου παρεκάλυπτον τοὺς ὀφθαλμοὺς αὐτῶν· καὶ ἐβεβηλού» μην ἐν μέσῳ αὐτῶν.» Συντελεῖν τε τὸν τοῖχον καὶ τοὺς ἀλείφοντας αὐτὸν ἀπειλῶν· τὸ δέ ἐστιν[264]· ἁμαρτάνοντας καὶ τοὺς συγκαλύπτοντας, ὅπερ εἶναι τῶν ἀρχόντων καὶ ἱερέων, καὶ πλαγιαζόντων τὸν οἶκον τοῦ Ἰσραὴλ, κατὰ τὰς καρδίας αὐτῶν τὰς ἀπηλλοτριωμένας, ἐν τοῖς ἐπιθυμήμασιν αὐτῶν. Καὶ σιωπῶ λέγειν, ὅσα περὶ τῶν βοσκόντων ἑαυτοὺς διαλέγεται[265],

---

250) «Ἐν ἄλλοις: «Ῥομφαία ἐξεγέρθητι». 251) Ἀμνοὺς ἐννοεῖ ἐνταῦθα τοὺς προηγουμένους τοῦ ποιμνίου κριούς, δηλ. «τοῦ λαοῦ τοὺς προέχοντας». 252) Ἐμφιλοχωρεῖ, ἐνδιατρίβει. 253) Δαν. Σωσ. Α', 2. 254) Ἐν ἄλλοις ἄλλως ἔστικται τὸ χωρίον: «Ἵνα δὲ τοὺς ἐν τῷ Δ. παραδρ. πρεσβυτέρους, (καὶ γὰρ παραδράμοιμεν,) καὶ τὸ τῷ δεσπ. κτλ.

255) «Σκοπὸν δέδωκά σε τῷ οἴκῳ Ἰσραὴλ», Ἰεζ. γ', 17., ὅθεν ὁ Ἐπίσκοπος.

256) Κατ' ἐναλλαγὴν πτώσεως, ἀπὸ αἰτιατικῆς εἰς γενικὴν, ἐξαρτωμένων ἀμφοτέρων ἀπολύτως ἢ ἐλλειπτικῶς ἐκ τοῦ Πῶς. 257) Οἱ σκοποί. 258) Οἱ ἁμαρτάνοντες.

259) Τοὺς σκοποὺς μηνύσαντας τὴν κακίαν καὶ τὴν ῥομφ. 260) (Ἀπὸ κοινοῦ τὸ) Παραδράμοιμεν. 261) Ἰεζ. ζ', 26. 262) Ἰεζ. κβ', 24. 263) Τῇ πόλει τῶν αἱμάτων, τῇ Ἱερουσαλήμ· Τὸ δὲ Εἶπον ἢ Εἰπὸν, καθὼς ἀλλαχοῦ γράφεται, κατὰ διάλεκτον ἀντὶ Εἰπέ.

264) Τουτέστιν, πρὸς ἑρμηνείαν τῶν εἰρημένων. 265) Ἰεζ. λδ', 2, 3.

ΕΡΓΑΣΤΗΡΙΟ ΦΙΛΟΣΟΦΙΑΣ ... ΙΩΑΝΝΙΝΑ 2006

τὸ γάλα κατεσθιόντων, καὶ τὰ ἔρια περιβαλλομένων, καὶ τὸ παχὺ σφαζόντων· ἀλλὰ μὴ ποιμαινόντων τὰ πρόβατα, τὸ ἠσθενηκὸς οὐκ ἐνισχυόντων, καὶ τὸ συντετριμμένον οὐ καταδεσμούντων, καὶ τὸ πλανώμενον οὐκ ἐπιστρεφόντων, καὶ τὸ ἀπολωλὸς οὐκ ἐκζητούντων, καὶ τὸ ἰσχυρὸν οὐ φυλαττόντων, ἀλλὰ μόχθῳ κατεργαζομένων, καὶ κατὰ σπουδὴν ἀπολλύντων· ὡς[266] διεσπάρθαι τὰ πρόβατα κατὰ παντὸς πεδίου καὶ ὄρους παρὰ τὸ μὴ εἶναι ποιμένας, καὶ γενέσθαι κατάβρωμα πᾶσι πετεινοῖς καὶ θηρίοις, οὐκ ὄντος τοῦ ἐκζητοῦντος καὶ ἐπιστρέφοντος· εἶτα τί; «Ζῶ ἐγώ, φησί[267], λέ» γει Κύριος, ἀντὶ τοῦ ταῦτα οὕτως ἔχειν[268] καὶ γενέσθαι τὰ πρόβατά » μου εἰς προνομήν· Ἰδοὺ ἐγὼ ἐπὶ τοὺς ποιμένας, καὶ ἐκζητήσω τὰ πρό» βατά μου ἐκ τῶν χειρῶν αὐτῶν· » καὶ τὰ μὲν συνάξω καὶ περιποιήσομαι· οἱ δὲ τὰ καὶ τὰ[269] πείσονται, ἃ τοὺς κακοὺς ποιμένας εἰκός.

Ἀλλ' ἵνα μὴ τὰ πάντων καὶ πάντας ἀπαριθμούμενος τοὺς προφήτας μακρὸν ἀποτείνω λόγον, ἑνὸς ἐπιμνησθεὶς ἔτι, τοῦ πρὸ τῆς πλάσεως ἐγνωσμένου, καὶ ἐκ μήτρας ἡγιασμένου, Ἱερεμίας ἦν οὗτος[270], τοὺς λοιποὺς ὑπερθήσομαι. Ζητεῖ μὲν οὗτος ὑπὲρ κεφαλῆς ὕδωρ[271], καὶ τοῖς ὀφθαλμοῖς πηγὴν δακρύων, ἵνα κλαύσῃ πρὸς ἀξίαν τὸν Ἰσραήλ· ὀδύρεται δὲ οὐχ ἧττον καὶ τῶν προεστώτων τὴν μοχθηρίαν· λέγει δὲ αὐτῷ διελεγχόμενος πρὸς τοὺς ἱερεῖς ὁ Θεός[272]. «Οἱ ἱερεῖς οὐκ εἶπαν[273], ποῦ ἐστι Κύριος· καὶ οἱ ἀντ» εχόμενοι τοῦ νόμου μου, οὐκ ἠπίσταντό με· καὶ οἱ ποιμένες ἠσέβουν εἰς » ἐμέ. Λέγει δὲ αὐτὸς πάλιν· Ποιμένες ἠφρονήσαντο, καὶ τὸν Κύριον οὐκ » ἐξεζήτησαν, καὶ διὰ τοῦτο οὐκ ἐνόησε πᾶσα ἡ νομή, καὶ διεσκορπί» σθησαν· Ποιμένες τε, φησί, πολλοὶ διέφθειραν τὸν ἀμπελῶνά μου, ἐμό» λυναν τὴν μερίδα μου, τὴν οὖσαν ἐπιθυμητήν, δεδόσθαι εἰς [τὴν] ἔρημον » ἄβατον». Εἶτα πρὸς αὐτοὺς πάλιν ἀποτείνεται τοὺς ποιμένας. «Ὦ! οἱ » ποιμένες[274] οἱ ἀπολλύντες καὶ διασκορπίζοντες τὰ πρόβατα τῆς νομῆς μου! » διὰ τοῦτο τάδε λέγει Κύριος, ἐπὶ τοὺς ποιμαίνοντας τὸν λαόν μου· » ὑμεῖς διεσκορπίσατε τὰ πρόβατά μου, καὶ ἐξώσατε αὐτά, καὶ οὐκ ἐπε» σκέψασθε αὐτά. Ἰδοὺ ἐγὼ ἐκδικῶ ἐφ' ὑμᾶς κατὰ τὰ πονηρὰ ἐπιτηδεύ» ματα ὑμῶν.» Ἀλαλάζειν τε βούλεται[275] τοὺς ποιμένας καὶ κόπτεσθαι τοὺς κριοὺς τῶν προβάτων, διότι ἐπληρώθησαν αἱ ἡμέραι αὐτῶν εἰς σφαγήν.

Καὶ τί μοι τὰ παλαιὰ λέγειν; Τίς δὲ τοῖς Παύλου κανόσι καὶ ὅροις ἑαυτὸν παρεκτείνων[276], οὓς περὶ ἐπισκόπων καὶ πρεσβυτέρων ἔταξε[277], νηφαλίους, σώφρονας εἶναι, μὴ παροίνους, μὴ πλήκτας, διδακτικούς, ἀλήπτους[278] ἐν πᾶσι, καὶ ἀνεπάφους τοῖς πονηροῖς, οὐ πολὺ τὸ διαφεῦγον εὑρήσει τὴν

---

266) Ὥστε. 267) Αὐτ. 8. 268) Διὰ τὸ ταῦθ' οὕτως ἔχειν. 269) Ὅσα δηλ. κατ' ἔκτασιν ἀναφέρονται εἰς τὴν προφητείαν. 270) «Ἐγένετο λόγος Κυρίου πρὸς Ἱερεμίαν. Πρὸ τοῦ με πλάσαι σε ἐν κοιλίᾳ ἐπίσταμαί σε, καὶ πρὸ τοῦ σε ἐξελθεῖν ἐκ μήτρας, ἡγίακά σε προφήτην, εἰς ἔθνη τέθεικά σε,» Ἱερ. Α', 1. 271) «Τίς δώσει κεφαλῇ μου ὕδωρ, καὶ ὀφθαλμοῖς μου πηγὴν δακρύων, καὶ κλαύσομαι τὸν λαόν μου ἡμέρας καὶ νυκτός;» Ἱερ. Δ', θ'. 272) Ἱερ. Β', 8. 273) Κατὰ διάλεκτον ἀντὶ Εἶπον, ἴδε Εὐστάθ. Ὀδυσσ. Ξ. 212. 274) Αὐτ. κγ'. 275) Ἱερεμ. κε', 34. 276) Ἀπὸ μεταφορᾶς τῶν πρὸς τὸν πῆχυν μετρουμένων ὑφασμάτων κτλ. 277) Παῦλ. Τιμόθ. Α', γ'. Τιτ. α, 5. 278) Ἀνεγκλήτους, ἀνεπιλήπτους.

τῶν κανόνων εὐθύτητα; Τί δαί; ἃ τοῖς μαθηταῖς Ἰησοῦς ἐπὶ τὸ κήρυγμα πέμπων νομοθετεῖ[130]; Ὧν τὸ κεφάλαιον, ἵνα μὴ τὰ καθέκαστον λέγω, τοιούτους εἶναι[131] τὴν ἀρετὴν, καὶ οὕτως εὐσταλεῖς καὶ μετρίους, καὶ, εἰ δεῖ συντόμως εἰπεῖν, οὐρανίους· ὥστε οὐχ ἧττον διὰ τὸν τρόπον αὐτῶν, ἢ διὰ τὸν λόγον τρέχειν τὸ Εὐαγγέλιον[132]. Ἐμὲ δὲ φοβοῦσι καὶ ὀνειδιζόμενοι Φαρισαῖοι, καὶ γραμματεῖς ἐλεγχόμενοι[133]· ὧν[134] αἰσχρὸν, εἰ, πολὺ περιεῖναι δέον τὴν ἀρετὴν, ὡς διατετάγμεθα[135], εἴ τι δεοίμεθα τῆς τῶν οὐρανῶν βασιλείας, καὶ τὴν κακίαν φανούμεθα χείρους. Ὥστε καὶ ὄφεις ἂν εἰκότως ἀκοῦσαι, καὶ γεννήματα ἐχιδνῶν, καὶ ὁδηγοὶ τυφλοὶ, τὸν κώνωπα διϋλίζοντες, καὶ τὴν κάμηλον καταπίνοντες, καὶ τάφοι ῥυπαροὶ τὰ ἔνδον, μετ' εὐπρεπείας τῆς ἔξωθεν, καὶ παροψίδες καθαραὶ, τὸ φαινόμενον, καὶ τἄλλα ὅσα ἐκεῖνοι καί εἰσι καὶ ἀκούουσι.

Τούτοις ἐγὼ σύνειμι νύκτωρ καὶ μεθ' ἡμέραν τοῖς λογισμοῖς. Ταῦτά μου τὸν μυελὸν ἐκτήκει, καὶ δαπανᾷ τὰς σάρκας, καὶ οὐκ ἐᾷ θρασὺν εἶναι, οὐδὲ πορεύεσθαι ἄνω βλέποντα. Ταῦτά μου ταπεινοῖ τὴν ψυχὴν, καὶ τὸν νοῦν συστέλλει καὶ τῇ γλώσσῃ δεσμὸν ἐπιτίθησι, καὶ οὐ περὶ προστασίας εἶναι ποιεῖ τὸν λόγον, οὐδὲ τοῦ[136] κατορθοῦν ἄλλους καὶ διευθύνειν, ὃ πολλῆς ἐστι τῆς περιουσίας· ἀλλ' ὅπως ἂν αὐτὸς τὴν ἐρχομένην ὀργὴν διαφύγοιμι, καὶ μικρόν τι τοῦ ἰοῦ τῆς κακίας ἐμαυτὸν ἀποξέσαιμι. Καθαρθῆναι δεῖ πρῶτον, εἶτα καθᾶραι· σοφισθῆναι, καὶ οὕτω σοφίσαι· γενέσθαι φῶς, καὶ φωτίσαι· ἐγγίσαι Θεῷ, καὶ προσαγαγεῖν ἄλλους· ἁγιασθῆναι, καὶ ἁγιάσαι· χειραγωγῆσαι μετὰ χειρῶν, συμβουλεῦσαι μετὰ συνέσεως. Πότε οὖν ἔσται ταῦτα; φασὶν οἱ ταχεῖς τὰ πάντα καὶ οὐκ ἀσφαλεῖς· οἱ ῥᾳδίως οἰκοδομοῦντες καὶ καταλύοντες. Καὶ πηνίκα ὁ λύχνος ἐπὶ τὴν λυχνίαν[137]; καὶ ποῦ τὸ τάλαντον; οὕτω τὸ χάρισμα[138]· λέγοντες. Ταῦτα οἱ θερμοὶ τὴν φιλίαν ἢ τὴν εὐλάβειαν. Πότε ταῦτα, καὶ τίς ὁ ἐμὸς λόγος, ὦ γενναιότατοι; οὐ μακρὰ προθεσμία, οὐδὲ γῆρας τὸ ἔσχατον· κρείσσων γὰρ πολιὰ μετὰ φρονήσεως, ἀπαιδεύτου νεότητος, καὶ λελογισμένη βραδυτὴς, τάχους ἀπερισκέπτου, καὶ ὀλιγοχρόνιος βασιλεία, μακρᾶς τυραννίδος· ὡς καὶ ὀλίγη μερὶς τιμία, πολλῆς κτήσεως ἀτίμου καὶ σφαλερᾶς[139], καὶ χρυσὸς ὀλίγος, μολύβδου πολυταλάντου, καὶ πολλοῦ σκότους, ὀλίγον φῶς. Τὸ δὲ ταχὺ τοῦτο καὶ σφαλερὸν καὶ λίαν κατεσπουδασμένον, μὴ τοῖς σπέρμασιν ἐκείνοις ἐοικὸς ᾖ, ἃ κατὰ τῶν πετρῶν πεσόντα, καὶ διὰ τὸ μὴ ἔχειν βάθος γῆς εὐθὺς ἀνακύψαντα, οὐδὲ τὴν πρώτην ἤνεγκε τοῦ ἡλίου θερμότητα, ἢ τῷ κατὰ τῆς ψάμμου[140] τεθέντι θεμελίῳ μηδὲ ὀλίγον ἀντισχόντι πρὸς τὴν βροχὴν καὶ τὰ πνεύματα[141]. Οὐαί σοι πόλις, ἧς ὁ βασιλεύς σου νεώτερός ἐστι, φησὶ Σολομών[142]·

---

130) Ματθ. Ι', 5. 131) Τὸ εἶναί ἐστι κεφάλαιον. 132) Ἐπίσης καὶ διὰ τὸ ἀνεπίληπτον τοῦ βίου των, ὡς καὶ διὰ τῆς διδασκαλίας των εὐοδοῦσθαι τὸ κήρυγμα τοῦ Εὐαγγελίου.

133) Ἴδε Ματθ. κγ', 13. 134) Ἡ γενικὴ προσετικῶς μὲν εἰς τὸ Περιεῖναι, συγκριτικῶς δὲ εἰς τὸ χείρους. 135) « Ἐὰν μὴ περισσεύσῃ ἡ δικαιοσύνη ὑμῶν πλεῖον τῶν Φαρισ. καὶ Γραμματ., οὐ μὴ εἰσέλθητε εἰς τὴν Βασιλείαν τῶν οὐρανῶν », Εὐαγγέλ. 136) [illegible] 137) (Ἐνν.) Τεθήσεται, τοῦτο δὲ ἐκ τοῦ Εὐαγγ. Ματθ. ε', 15. 138) Τοῦ λόγου τῆς [illegible]. 139) (Ἐνν.) Κρείσσων ἐστίν. 140) Ματθ. ιγ', 5. 141) [illegible] ζ', 26.

142) Σολ. Ἐκκλ. Ι', 16.

Καὶ μὴ ἴσθι ταχὺς ἐν λόγοις, τοῦ αὐτοῦ Σολομῶντος[289] φωνή· πρᾶγμά τι ἔλαττον λέγοντος τὸ περὶ λόγον τάχος τῆς περὶ πρᾶξιν θερμότητος[290].

Καὶ[291] τίς ἐστι παρὰ[292] ταῦτα, ὁ τὸ τάχος ἀπαιτῶν πρὸ τῆς ἀσφαλείας καὶ τοῦ συμφέροντος; Τίς ὁ πλάττων, καθάπερ αὐθημερὸν τοὺς πηλίνους[293], τὸν τῆς ἀληθείας προστάτην, τὸν μετὰ Ἀγγέλων στησόμενον, καὶ μετὰ ἀρχαγγέλων δοξάσοντα, καὶ ἐπὶ τὸ ἄνω θυσιαστήριον ἀναπέμψοντα τὰς θυσίας, καὶ Χριστῷ συνιερεύσοντα[294]; τὸν ἀναπλάσοντα τὸ πλάσμα, καὶ παραστήσοντα τὴν εἰκόνα, καὶ τῷ[295] ἄνω κόσμῳ δημιουργήσοντα, καὶ, τὸ μεῖζον εἰπεῖν, Θεὸν ἐσόμενον καὶ θεοποιήσοντα; Οἶδα τίνος ἐσμὲν λειτουργοὶ, καὶ ποῦ κείμενοι, καὶ ποῦ πέμποντες. Οἶδα τοῦ Θεοῦ τὸ ὕψος, καὶ τὴν ἀνθρωπίνην ἀσθένειαν, καὶ τὴν δύναμιν πάλιν. «Οὐρανὸς ὑψηλὸς, γῆ βαθεῖα[296]» καὶ τίς ἀναβήσεται τῶν ἐῤῥιμμένων τῇ ἁμαρτίᾳ; τίς περικείμενος ἔτι τὸν κάτω ζόφον καὶ τῆς σαρκὸς τὴν παχύτητα, ὅλῳ νοῒ καθαρῶς ἐποπτεύσει νοῦν ὅλον, καὶ μιγήσεται τοῖς ἑστῶσι καὶ ἀοράτοις ἐν τοῖς ἀστάτοις καὶ ὁρωμένοις; Μόλις γὰρ ἄν τις ἐνταῦθα[297] τῶν σφόδρα κεκαθαρμένων κἂν εἴδωλον τοῦ καλοῦ θεωρήσειεν, ὥσπερ οἱ τὸν ἥλιον ἐν τοῖς ὕδασι. «Τίς ὁ μετρήσας τῇ χειρὶ τὸ ὕδωρ, καὶ τὸν οὐρανὸν σπιθαμῇ, καὶ πᾶσαν τὴν γῆν δρακί; Τίς ἔστησε τὰ ὄρη σταθμῷ, καὶ τὰς νάπας ζυγῷ; Τίς τόπος τῆς καταπαύσεως αὐτοῦ, καὶ τίνι τῶν πάντων ὁμοιωθήσεται[298]; Τίς ὁ ποιήσας τὰ πάντα ἐν λόγῳ, καὶ τῇ σοφίᾳ κατασκευάσας ἄνθρωπον[299]», καὶ εἰς ἓν ἀγαγὼν τὰ διεστῶτα, καὶ μίξας τὸν χοῦν τῷ πνεύματι, καὶ συνθεὶς ζῶον ὁρατὸν καὶ ἀόρατον, πρόσκαιρον καὶ ἀθάνατον, ἐπίγειον καὶ οὐράνιον, ἁπτόμενον Θεοῦ καὶ οὐ περιδρασσόμενον, ἐγγίζον καὶ μακρυνόμενον; «Εἶπα, σοφισθήσομαι, φησὶν ὁ Σολομὼν[300], καὶ αὐτὴ ἐμακρύνθη ἀπ' ἐμοῦ μακρὰν, ὑπὲρ ὃ ἦν», τὴν σοφίαν λέγων[301]. Καὶ ὄντως, «ὁ προστιθεὶς γνῶσιν προστίθησιν ἄλγημα[302]»· οὐ μᾶλλον εὐφραίνοντος τοῦ εὑρεθέντος, ἢ ἀνιῶντος τοῦ διαφεύγοντος. Ὅπερ, οἶμαι, φιλεῖ συμβαίνειν τοῖς ἔτι διψῶσιν, ἀποσπωμένοις ὕδατος, ἢ κρατεῖν τι οὐ δυναμένοις, ἔχειν νομίζουσιν, ἢ ὡς[303] ἀπῆλθεν εὐθὺς ἀστραπὴ περιλάμψασα.

Τοῦτό με ἵστη κάτω, καὶ ταπεινὸν ἐποίει, καὶ εἶναι βέλτιον ἔπειθεν ἀκούειν φωνὴν αἰνέσεως, ἢ ἐξηγητὴν εἶναι τῶν ὑπὲρ δύναμιν· ἡ μεγαλειότης[304], καὶ τὸ ὕψος, καὶ τὸ ἀξίωμα, καὶ αἱ καθαραὶ φύσεις, μόλις χωροῦσαι Θεοῦ λαμπρότητα, ὃν ἄβυσσος καλύπτει, οὗ σκότος ἀποκρυφὴ[305], φωτὸς ὄντος τοῦ καθαρωτάτου καὶ ἀπροσίτου τοῖς πλείοσιν· ὃς ἐν τῷ παντὶ τῷδε, καὶ τοῦ παντός ἐστιν ἔξω· ὃς καλόν ἐστιν ἅπαν, καὶ ἄνω παντὸς καλοῦ· ὃς νοῦν φωτίζει, καὶ διαφεύγει νοῦ τάχος καὶ ὕψος· ἀποχωρῶν ἀεὶ τοσοῦτον, ὅσον καταλαμβάνεται· καὶ ὑπάγων πρὸς τὰ ἄνω τὸν ἐραστὴν, τῷ φεύγειν, καὶ

---

289) Ἐκκλ. Ε΄, 1. 290) Ταχύτητος. 291) Συλλογιστικός. 292) Παραβαίνων ταῦτα.
293) (Ἐνν.) Ἀνδριάντας. 294) Φαίνεσθαι ταύτην ποιήσοντα, ὡς συγκεκαλυμμένην τέως καὶ συγκεχωσμένην τοῖς πάθεσι. 295) (Ἐπὶ) τῷ, ἵνα γένηται ἄξιον (τὸ πλάσμα) τοῦ ἄνω κόσμου. 296) Παροιμ. κε΄, 3. 297) Ἐν τοῖς ἀστάτοις καὶ ὁρωμένοις, ἐν τούτῳ τῷ βίῳ δηλ.
298) Ἡσ. μ΄, 12. 299) Σοφ. Σολομ. Θ΄, 1. 2. 300) Ἐκκλησ. Ζ΄. 23. 301) Ἐννοῶν δὲ τοῦ Δαυΐδ. 302) Ἐκκλησ. Α΄, 18. 303) Ἀντικείμενον τοῦ Περιλάμψασα. 304) Ὡς ἐπεξήγησις τοῦ Τοῦτο. 305) «Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ», Ψαλμ.

ΙΩΑΝΝΙΝΑ 2006